BYZANTINE GREEK SERIES · VOLUME 20

The Sack of Constantinople

Niketas Choniates

ΧΡΟΝΙΚΗ ΔΙΗΓΗΣΙΣ

The Sack of Constantinople

The Last Books of the History of Niketas Choniates

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is in the public domain



Volume 20 of the Canes Nobiles Byzantine Greek interlinear texts

The Byzantine Greek text follows Immanuel Bekker's edition,
Nicetae Choniatae Historia (Bonn, 1835), pp. 665–868

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

The text is Bekker's, with his punctuation and capitals. The chapters are his, numbered within each of his five books. The earlier books of the History are printed in Byzantine Greek 67–69, The History of Niketas Choniates.

CONTENTS

ALEXIOS III, BOOK THREE

I · Chrysos at Prosakos 7
II · Ivanko's Revolt 19
III · The Eucharist Dispute 32
IV · Ivanko Seized; the Empress 38
V · Riots in the City 47
VI · John the Fat 56
VII · Eudokia; Varna 66
VIII · The Young Alexios Escapes 76
IX · The Crusade Sets Out 81
X · The Flight of Alexios III 89

ISAAC II AND ALEXIOS IV

I · Isaac Restored 101
II · The Great Fire 108
III · Father and Son 115
IV · The People Rise 123
V · Mourtzouphlos Seizes the Throne 129

ALEXIOS V MOURTZOUPHLOS

I · The New Emperor 133
II · The City Falls 138
III · The Sack Begins 145
IV · Crusaders and Saracens 151
V · Lament for the City 156
VI · The Historian Falls Silent 162

AFTER THE CAPTURE

I · Solon's Warning 168
II · Plunder and Flight 174
III · Leaving the City 179
IV · Farewell to the Walls 185
V · Exile at Selymbria 188
VI · The Lots and the Election 193
VII · Baldwin and Boniface 198
VIII · Henry in Asia; Sgouros 207
IX · Sgouros and Boniface 218
X · The Battle of Adrianople 227
XI · Serres and Thessalonike 237
XII · The Siege of Adrianople 246
XIII · Rival Emperors; Philippoupolis 256
XIV · The Cumans in Thrace 264
XV · The Ruin of Thrace 273
XVI · Laskaris and the Latins 281
XVII · Homer's Coward; Henry's Raid 294

ON THE STATUES

The Bronzes Melted Down 300

I · CHRYSOS AT PROSAKOS

Alexios marches from Kypsella against Chrysos, a Vlach who holds Strumitza and has made Prosakos, a fortress on sheer rocks above the Axios, his seat. The veterans advise taking the lesser towns first; the eunuch chamberlains, longing for the Propontis, urge an assault. The Romans storm the outwork, but no mattocks or ladders come in time, and Chrysos's engines and a night raid on the protovestiarios's tent shame them. Alexios makes terms, cedes Prosakos and Strumitza, and sends Chrysos a bride.

Καὶ τῇδε μὲν καὶ ταῦτα συμβέβηκε, βασιλεὺς δ'
and here indeed also these(-things) have-happened (the)-emperor and
ἀπάρας ἐκ τῶν Κυψέλλων τῇ Θεσσαλονίκῃ ἐφίσταται,
having-set-out from — Kypsella — at-Thessalonike arrives
κἀκεῖθεν ἀναστὰς κατὰ τοῦ Χρύσου ὁρμᾷ. οὗτος γὰρ
and-thence having-risen against — Chrysos rushes this(-man) for
τὴν Στρούμμιτζαν ἰδιωσάμενος, Βλάχος ὢν τὸ γένος,
— Strumitza having-appropriated Vlach being the race
καὶ φρούριόν τι ἀπολαβὼν λεγόμενον Πρόσακον ἐς
and fort some having-seized called Prosakos into
τυραννεῖον ἑαυτῷ κατεσκεύασε, κρατύνας παντοίως
tyrant's-seat for-himself fitted-out having-strengthened in-every-way
τὸ ἔρυμα, ὅπερ ἡ μὲν φύσις ἀρχῆθεν φιλοτίμως
the stronghold which the indeed nature from-the-beginning lavishly
ἐξεῦρέ τε καὶ ἀνέδωκε· πέτραι γάρ εἰσιν ἀπορρῶγες
devised both and produced rocks for are sheer
δισχιδεῖς, συνεπτυγμέναι ἀλλήλαις, μία δ' ἐς αὐτάς ἐστιν
cleft folded-together with-each-other one and to them is
ἄνοδος στενὴ καὶ βίαιος καὶ ἀμφίκρημνος, ἡ δὲ λοιπὴ
ascent narrow and steep and precipitous-all-round the and remaining

περίμετρος τῶν πετρῶν αἰγίλιψ ἅπασα καὶ ἀπρόσβατος,
circuit of-the rocks goat-forsaken all and inaccessible
καὶ ποταμὸς βαθυδίνης ὁ Ἀξιὸς ἀμφιπερικλώμενος
and river deep-eddying the Axios winding-around
ἐπιτειχίζει ταύτας παραλογώτερον· ἐλθοῦσα δ' εἰς ὕστερον
walls-in them beyond-expectation having-come and to later
ἡ τέχνη ἀνθαμιλλήτρια τῇ φύσει ἀναλώτους αὐτὰς μικροῦ
the art rival to-the nature impregnable them by-little
ἐτεκτήνατο· τείχη γὰρ ἀρραγῆ διειληφυῖα κατὰ τὴν
made walls for unbreakable having-drawn-across at the
ἐνδοθεῖσαν ἄνοδον ὑπερφυὲς τετέλεκεν ὁρμητήριον. ἀλλὰ
granted ascent marvelous it-has-made base but
τὸ τοιοῦτον ἔρυμα τὸν Πρόσακον Ῥωμαῖοι μὲν πάλαι
the such stronghold — Prosakos (the)-Romans indeed long-ago
παρεῖδον, Βουλγάρων ἀφροντιστοῦντες, καὶ κατέλιπον
overlooked of-(the)-Bulgarians heedless and left
ἔρημον, ὁ δὲ Χρύσος ἐπιποιήσας εἶχε κατὰ Ῥωμαίων
deserted — and Chrysos having-built-on held against (the)-Romans
ἀπρόσμαχον οἰκητήριον, πᾶν ὅτι περ ὅπλοις τρόφιμον
unassailable dwelling all what — in-arms bred
ἐκεῖσε συνηλικώς, ἀφετήριά τε ὄργανα περιστήσας καὶ τὰ
there having-gathered launching both engines having-set-around and the
πρὸς τὸ ζῆν ἐνθέμενος ἄφθονα, ποίμνιά τε καὶ βουκόλια
for the to-live having-stored abundant flocks both and herds
κατ' ἀγέλας ταῖς ἀκρωνυχίαις ἀνεὶς νέμεσθαι· οὐ γὰρ
by droves on-the ridges having-let-loose to-graze not for
εὐπερίληπτος ἡ τοῦ φρουρίου τοῦδε περίμετρος, ἀλλ'
easily-encompassed the of-the fort this circuit but
ἐς ὅτι πλεῖστον εὐρύνεται καὶ μηκύνεται, καὶ ἄλσεσιν
to what most it-widens and lengthens and with-groves
ἐξ ὄμβρων κομᾷ, καὶ χωρίοις δρυμώδεσι βέβριθεν. ἑνὸς
from rains it-is-leafy and with-places wooded it-is-laden of-one

δέ τινος καλοῦ, καὶ τούτου ἀπαραιτήτου, καλλίστου
and certain good and this indispensable most-beautiful
καὶ κρατίστου τὸ φρούριον στέρεται· οὐδὲ γὰρ βραχεῖά
and best the fort is-deprived not-even for small
τις ὕδατος λιβὰς ἐκεῖ που ἐκδίδωσιν, οὐδὲ φρεάτιά
a of-water trickle there anywhere issues nor wells
εἰσιν ὀρυκτά, ἀλλὰ δεῖ ἐς τὸν ποταμὸν κατιέναι καὶ
are dug but (one)-must to the river go-down and
ὑδρίαις ἀρύσασθαι τὸν ποτόν. τοιούτου τοίνυν ἐρύματος
with-pitchers draw the drink of-such therefore stronghold
ἐγκρατὴς ὁ Χρύσος γενόμενος πρὸς οὐδὲν ὅτι κατ᾽
master — Chrysos having-become at nothing that against
αὐτοῦ βασιλεὺς ἔπεισιν ἐτετάρακτο, ἀλλ᾽ ὡς ἀντιταξόμενος
him (the)-emperor comes had-been-troubled but as to-oppose
ἡτοιμάσατο. τοῖς μὲν οὖν ἐν πείρᾳ πολέμου Ῥωμαίοις,
prepared to-the indeed then in experience of-war (the)-Romans
εἴ τίς που τέως καὶ ὑπολέλειπτο, καὶ οἷς ἡ
if anyone anywhere till-then also had-been-left and to-whom the
τῶν ἐκεῖσε θέσις χωρῶν οὐδαμῶς ἠγνόητο, δέον
of-the there position of-places in-no-way had-been-unknown needful
ἐκρίνετο καὶ τῷ βασιλεῖ συνεβούλευον παραλλάξαι μὲν
it-was-judged and to-the emperor they-advised to-pass-by indeed
τὸν Πρόσακον, μετελθεῖν δὲ τὰ λοιπὰ πολίσματα καὶ
— Prosakos to-go-after and the remaining towns and
τὰς κώμας ὁπόσαι κατήκοοι Χρύσῳ γεγόνασι, μετὰ
the villages as-many-as subject to-Chrysos have-become after
δὲ τὴν τούτων χείρωσιν τῷ Προσάκῳ παρεμβαλεῖν·
and the of-these subjugation — at-Prosakos to-encamp
οὕτω γὰρ ἐσεῖσθαι καὶ τὸ στράτευμα εὐθαρσέστερον,
thus for would-be also the army bolder
τὰ εὐχείρωτα καταστρεψάμενον πρότερον καὶ λείαν
the easily-taken having-subdued first and booty

ἐκεῖθεν περιβαλόμενον, καὶ αὐτὸν δὲ τὸν Χρύσον τῇ
thence having-gathered and himself too — Chrysos by-the
βίᾳ τῶν πραγμάτων ἀγχόμενον μεταβουλεύσασθαί τι
force of-the affairs being-strangled to-rethink something
χρηστότερον, ἐνδόντα τοῦ ἄγαν ἢ καὶ ἀπογνόντα
better having-yielded from-the too-much or even having-despaired
τῶν καθ' αὑτόν. τοῦ δέ γε κατὰ τὴν πρώτην
of-the(-things) concerning himself the and at-least at the first
ὁρμὴν τοῖς ἀπροσμάχοις εὐθὺς προσβαλεῖν καὶ πρὸς ὄρη
onset the unassailable at-once to-attack and against mountains
διαμιλλᾶσθαι ἀπότομα, μὴ καὶ εἶναι μάταιον ἔλεγον,
to-contend sheer lest also to-be vain they-said
καὶ ἄλλως ἱδρῶτας ὁρᾶν αἱματόεντας καὶ προσκείμενον
and otherwise sweats to-see bloody and lying-ahead
πόνον πολύν, καὶ φαντάζεσθαι κόρσας ἀναύχενας τῶν
toil much and to-picture heads neckless of-the
μαχουμένων ἀνδρῶν. καὶ οἱ μὲν ταῦτα παρῄνουν,
fighting men and some indeed these(-things) advised
ἀντέστησαν δὲ γενναιότερον οἱ μὴ ἐνόρχαι τοῦ βασιλέως
opposed but more-nobly the not uncastrated of-the emperor
πρόκοιτοι, ὧν ἐπρωτίστευεν ὁ Οἰναιώτης Γεώργιος,
chamberlains of-whom was-chief — Oinaiotes George
καὶ τὰ ἐπὶ τῆς θεραπείας λειογένεια μειράκια. οὗτοι γὰρ
and the over the service smooth-chinned lads these for
περιστάντες τὸν βασιλέα παλαιοὶ καὶ πανδέξιοι ἔπεισαν
having-stood-around the emperor veterans and all-skilled persuaded
ἐς τὸν Πρόσακον εὐθυώρως ἄγειν τὴν στρατιάν, καὶ κατ'
to — Prosakos straightaway to-lead the army and against
αὐτοῦ τοῦ Χρύσου ἀντίον τὰ ὅπλα ἄγειν καὶ τὸ δόρυ
himself — Chrysos opposite the arms to-bear and the spear
διαγκωνίζεσθαι, ὡς „εἰ οὗτος ἁλώσεται, οὐκ ἔστιν ὅστις ἐς
to-wield as if this will-be-taken not there-is who into

τὸ ἐξῆς ἀντιστήσεται. καὶ ἄλλως δὲ τί τὸ προσιστάμενον
the future will-resist and otherwise too why the resisting
μὴ κατὰ τοῦ καιρίου μέρους αὐτίκα χωρεῖν, ἀλλ' ἐκ
not against the vital part at-once to-advance but from
περιόδων καὶ κύκλων μετέρχεσθαι τὸ πολέμιον; πρὸς δὲ
circuits and circles to-pursue the enemy besides and
τούτοις τίς ἂν ἀνέξεται ὅλως ταῖς βαρβαρικαῖς ταύταις
these who — will-endure at-all in-the barbarous these
καὶ ἀχαριτώτοις χώραις διατρίβειν ἐπὶ πολὺ δι' οὐδὲν ἢ
and graceless lands to-spend-time for long for nothing or
μικρὸν ὄφελος, τῆς τῶν συκίων καὶ τῶν πεπόνων ὥρας
small profit the of-the figs and of-the melons season
ἐφισταμένης καὶ τῶν ἄλλων περκαζόντων ὡραίων τῆς
being-at-hand and of-the other ripening fruits of-the
γῆς, οἷς ὑπερβέβριθε Προποντὶς ὅσα καὶ παράδεισος
earth with-which abounds (the)-Propontis just-as also paradise
χειρὶ θεοῦ φυτευθείς. εἴθε ὑπὸ πλακὶ Ῥηγίου γενοίμεθα
by-hand of-God planted would-that under (the)-plain of-Rhegion we-might-be
καὶ Ἀφάμειαν θεασαίμεθα, ὅπως προσείποιμεν τὴν ἱερὰν
and Aphameia might-behold that we-might-greet the holy
Κωνσταντινούπολιν, κἀκεῖθεν ἐς τὰ τοῦ πρὸ τοῦ Πόντου
Constantinople and-thence to the of-the before the Pontus
τρυφερὰ χωρία προσαναπλεύσαιμεν, ἔνθα πραεῖά τις αὔρα
delicate places might-sail-on where gentle a breeze
βόρειος καὶ ζωογόνος προσβάλλει διὰ παντός, καὶ ἰχθύες
northern and life-giving blows through all and fishes
νεαλεῖς περισκαίρουσι, καὶ δελφῖνες ἥδιστον ἀναθρώσκουσι
fresh leap-around and dolphins most-sweetly spring-up
λουτρῶν τε χάριτες διαγελῶσιν ἁπανταχῇ, καὶ ἀργύρεα
of-baths and charms laugh everywhere and silvery
πλανώμενα ὕδατα τὸν θεατὴν διαχέουσι, καὶ τὰς ἀκοὰς
wandering waters the beholder gladden and the ears

τῶν δεῦρο κἀκεῖσε περιφοιτώντων ἑστιῶσι κατακηλοῦσαι
of-the hither and-thither roaming feast enchanting
κωτίλλουσαι χελιδόνες καὶ μελεάζουσαι ἀηδόνες καὶ πᾶν
twittering swallows and singing nightingales and every
ἕτερον ἄλλῃ καὶ ἄλλῃ τρύζον ἐν ταῖς λόχμαις καὶ
other here and there murmuring in the thickets and
τιτυβίζον μουσικὸν πτερόν." ὅλῳ τοίνυν ῥυτῆρι πρὸς
chirping musical wing with-whole therefore rein to
τὸν Πρόσακον φέρεται βασιλεύς, εἴπερ ἐς ἴσον αὐτῷ
— Prosakos is-borne (the)-emperor if-indeed to equal for-him
κατέστη τῇ θέᾳ ὁ λόγος. ὅθεν τινὰ μὲν ἐρύματα
stood with-the sight the talk whence some indeed strongholds
πάρεργον ὁδοῦ κατεστράφησαν, θημωνίαι τε καρπῶν
by-the-way of-(the)-road were-overthrown stacks both of-fruits
καὶ λήϊα πυροφόρα κατηθαλώθησαν, καὶ παρὰ Περσῶν
and crops wheat-bearing were-burned-to-ash and by (the)-Persians
ἑάλωσαν Βλάχοι δορύκτητοι, οὓς ὁ τῆς πόλεως Ἀγκύρας
were-captured Vlachs spear-won whom the of-the city of-Ankyra
σατράπης ἐπικούρους ἀπέσταλκε βασιλεῖ, ὅτε καὶ τὸ
satrap as-allies has-sent to-(the)-emperor when also the
μὲν περὶ τὴν ὀρθόδοξον πίστιν ὑγιὲς καὶ θερμότερον τὸν
indeed about the orthodox faith sound and warmer the
βασιλέα ἐξελιπάρησε μὴ συγχωρῆσαι ὅλως τοῖς Τούρκοις
emperor besought not to-allow at-all the Turks
οἴκαδε ἀνθρώπους μετενεγκεῖν θεὸν ὃν ἡμεῖς πρεσβεύομεν
homeward men to-carry-off God whom we honor
σεβομένους, ἵνα μὴ τὴν πίστιν ἄκοντες μεταθέμενοι τὸ θεῖον
worshiping that not the faith unwilling having-changed the divine
κατὰ τῶν ἐκδόντων ἐκμήνωσιν, ἀλλὰ τὸ μὲν Βλαχικὸν
against those having-surrendered they-enrage but the indeed Vlach
αἰχμάλωτον ἐς οἰκετικὸν ἀποδοθῆναι Ῥωμαίοις, αὐτοὺς
captive(-throng) into servitude to-be-given to-(the)-Romans themselves

δὲ τοὺς χειρωσαμένους Πέρσας φιλοφρονηθῆναι δεξιώσεσιν
and the having-captured Persians to-be-favored with-gifts
ἑτέραις βασιλικαῖς· ὁ δὲ οὐδ' ὅλως ἐπένευσεν. ἐπεὶ δὲ καὶ
other imperial he but not at-all assented when and also
ἐς αὐτὸν ἐφθάκει τὸν Πρόσακον, βαλὼν ἐκεῖ που
to itself he-had-come — Prosakos having-pitched there somewhere
στρατήγιον ἔγνω τοῦ φρουρίου αὐτίκα πειράσασθαι. καὶ
headquarters he-resolved of-the fort at-once to-make-trial and
ἦν ἔργα πρὸς Ῥωμαίων τηνικαῦτα τελούμενα κατιδεῖν
it-was deeds by (the)-Romans then being-done to-behold
γέρατος καὶ θαύματος ἄξια· ὑπὲρ γὰρ ἐλπίδας διηγωνίσαντο.
of-honor and of-wonder worthy beyond for hopes they-fought-it-out
οἱ μὲν γὰρ θυρεοῖς καὶ γυμνοῖς φραξάμενοι ξίφεσιν,
some indeed for with-shields and with-bare having-fenced-themselves swords
οἱ δὲ τόξα καὶ βέλη φέροντες περὶ τὰ ἀνάντη τοῦ
others and bows and darts bearing about the steep of-the
φρουρίου ἀνερριχῶντο γεώλοφα, καὶ τοῖς ἀπὸ τειχῶν
fort clambered-up hillocks and at-those from (the)-walls
καὶ τῆς ἄκρας μαχομένοις ἐπεγχρίπτοντες ἔβαλλον. ἀμέλει
and the citadel fighting closing-in shot indeed
καὶ μετὰ κάματον καὶ φόνον πολὺν ἐξέκρουσαν τοὺς
and after toil and slaughter much they-drove-out the
βαρβάρους τοῦ προτειχίσματος, ὅπερ προφύλαγμα τῶν
barbarians from-the outwork which (as)-guard of-the
ἐκεῖσε πυλῶν ἐπῳκοδόμητο νεωστί. ἦσαν δ' οἳ καὶ
there gates had-been-built recently there-were and who also
διὰ τῶν κρημνωδῶν ἀνιμώμενοι ἀνόδων ἠκροβάτουν
through the precipitous hauling-themselves-up ascents went-on-tiptoe
ὡς αἴγαγροι, πειρώμενοι γενέσθαι εἴσω τειχῶν καὶ πρὸς
like wild-goats trying to-get inside (the)-walls and to
αὐτὴν τὴν ἄκραν ἀναδραμεῖν. ἀλλ' ὅτε τι διανύσαι ἔργον
itself the citadel to-run-up but when some to-accomplish deed

ᾠήθησαν σωτήριόν τε ἅμα καὶ κάλλιστον, τοὺς ἐπὶ τῶν
they-thought saving both at-once and most-fine those on the
τειχῶν ἀμυνομένους τρεψάμενοι καὶ εἴσω συγκλείσαντες,
walls defending having-routed and inside having-shut
τότε εἰκαίως διαπονούμενοι ἔγνωσαν· αἰτήσαντες γὰρ
then in-vain toiling they-learned having-asked for
σκαπάνας εἰς τὴν τῶν περιβόλων καθαίρεσιν οὐδένα
mattocks for the of-the ramparts demolition no-one
εἶχον τὸ αἰτηθὲν ὅπλον προσάγοντα. ἐπιμένοντες δὲ καὶ
they-had the requested tool bringing persisting and also
οὕτω τῷ μόχθῳ καὶ κατὰ τῶν ἐπὶ τῶν βασιλικῶν
thus in-the labor and against those over the imperial
ὅπλων ἀγανακτοῦντες, χερσί τε καὶ ξίφεσιν ὡς ἀμάλαις
arms being-indignant with-hands both and swords as crowbars
χρώμενοι, τοὺς λίθους ἀπέσπων τῆς ἁρμογῆς καὶ τὰ
using the stones tore-out of-the fitting and the
θωράκια καθῄρουν ἀναθορνύμενοι. σχολαίτερον δὲ τοῦ
parapets pulled-down leaping-up more-slowly and the
ἔργου προβαίνοντος, καὶ αὐτῶν προσπασχόντων κακῶς
work advancing and themselves suffering-besides badly
ἐκ τῶν ἐπικειμένων ἄνωθεν ἀντιπάλων, ὀψὲ καὶ βραδέως
from the pressing from-above adversaries late and slowly
ὁ τοῖς ὅπλοις ἐφεστὼς Θλαδίας ἀφίκετο, σκαπάνας
the over-the arms set Thladias arrived mattocks
κομίζων εἰς ἕνα ὁρμαθὸν διὰ μηρίνθου συμβεβλημένας.
bringing into one bundle by cord tied-together
δέον οὖν αὐτίκα καταποντισθῆναι τὸν ἐπίρρητον, ἢ
it-being-needful then at-once to-be-drowned the accursed(-man) or
γοῦν δυσφόρως καὶ χαλεπῶς τὸν κρατοῦντα ὑπενεγκεῖν
at-any-rate with-displeasure and harshly the ruler to-bear
τὸ πραχθὲν εἰς βραχεῖαν ἀνάψυξιν τῶν μάχῃ καὶ
the deed for brief relief of-those by-battle and

δίψει καὶ πνίγει κακουχουμένων διὰ τὸν ἐξ ἡλίου
by-thirst and by-stifling-heat being-afflicted because-of the from (the)-sun
καύσωνα, ὁ δὲ μόνῃ ἐπιπλήξει, καὶ ταύτῃ ἀκκισμῷ
heat he but with-only rebuke and that with-coyness
κατεχούσῃ, καὶ τῇ περιψοφήσει τῶν χειλέων τὸν
holding-back and with-the smacking of-the lips the
ἀγανακτοῦντα ὑποκρινάμενος κατέβαλεν οὕτω τὰ τῶν
indignant(-man) having-played cast-down thus the of-the
γενναίων ἐκείνων ἀνδρῶν φρονήματα. ἐπὶ δὲ τούτῳ καὶ
noble those men spirits upon and this also
κλίμακας αἰτησάμενοι, ὅπως δι' αὐτῶν ἐς τὰ ἄνω
ladders having-asked that through them to the top
γένωνται τῶν τειχῶν, οὐδὲ τούτων αὐτίκα ηὐμοίρησαν.
they-might-get of-the walls not-even these at-once they-were-granted
ὅθεν μὴ ἐπ' ἀνηνύτοις εἰσέτι μογεῖν ἀνεχόμενοι
whence not on unaccomplishable(-things) any-longer to-toil enduring
μετέβησαν ἐκεῖθεν οὐχ ἑκοντί. ἐκ τοῦ ἀναμφιλέκτου δ' ἄν,
they-moved thence not willingly from the indisputable and —
ὡς οἱ τειχομαχούμενοι Βλάχοι διετείνοντο ὕστερον, ἑάλω
as the besieged Vlachs maintained later was-taken
τὸ φρούριον καὶ ὁ Χρύσος συνείληπτο καὶ Ῥωμαίοις
the fort and — Chrysos had-been-seized and for-(the)-Romans
εὔφημον τὸ ἔργον τόδε γεγένητο καὶ πολλῶν ἐσέπειτα
auspicious the deed this had-become and of-many thereafter
καμάτων ἀναίρεσις, εἰ τὰ πρὸς τὴν καθαίρεσιν τοῦ
toils removal if the for the demolition of-the
τείχους ὄργανα προητοίμαστο καὶ κατὰ καιρὸν αἰτουμένοις
wall tools had-been-prepared and in season to-those-asking
παρείχετο. νῦν δὲ ἡ τῶν καθηκόντων ἀμέλεια ἢ καὶ
had-been-supplied now but the of-the duties neglect or also
θεὸς αὐτὸς (ἀλλ' ἡμῖν ἱλήκοι θεός, εἰ ἐμπλήκτως
God himself but to-us may-be-gracious God if rashly

τοῖς αὐτοῦ ἐπιβάλλομεν κρίμασι) μὴ ἐν τοῖς τότε
upon-the his we-lay-hands judgments not in the then
ἀνθρώποις ἐπευδοκῶν προσέστη τοῖς ἀγωνίσμασι. καὶ κατ᾽
men being-well-pleased opposed the struggles and on
ἐκείνην μὲν τὴν ἡμέραν οὕτω Ῥωμαῖοι διημιλλήθησάν
that indeed the day thus (the)-Romans contended
τε καὶ διελύθησαν, τὴν δ᾽ ἐπιοῦσαν αὖθις πρὸς
both and broke-off the and following(-day) again to
δευτέραν ἐξῆεσαν συμπλοκήν, εὗρον δὲ μετὰ φρονήματος
second they-went-out engagement they-found and with spirit
καὶ κόμπου τὸ ἀνθιστάμενον ἁμιλλώμενον διὰ τὰ
and boast the resisting(-side) vying because-of the
συνενεχθέντα χθιζά. ἀλλὰ καὶ τὰ πετροβόλα μηχανήματα
having-happened yesterday's but also the stone-throwing engines
οἷς ἐχρῶντο οἱ βάρβαροι ἀνῄρουν οὐχὶ βραχεῖς, ἐπιτυχῶς
which used the barbarians killed not few with-good-aim
καὶ ἀφ᾽ ὕψους τοὺς λίθους διακοντίζοντες· ἦν γὰρ
and from height the stones hurling there-was for
καὶ ὁ ταῖς τῶν πετρῶν ἀφέσεσιν ἐφεστὼς καὶ τὸν
also the over-the of-the stones launchings set and the
λύγον περιάγων καὶ τὴν σφενδόνην διατιθεὶς ἐν
withe turning and the sling arranging among
μηχανουργοῖς ἄριστος, Ῥωμαίοις μὲν ἐπὶ μισθῷ τὰ
engineers best to-(the)-Romans indeed for pay at-the
πρῶτα ὑπηρετούμενος, τότε δὲ πρὸς Χρύσον ἀπονοστήσας
first serving then but to Chrysos having-gone-over
ἐκ τοῦ μὴ ἔχειν τὸν μισθὸν χορηγούμενον. οὐ μόνον
from the not to-have the pay supplied not only
δὲ οἱ ἐξ ἀφετηρίων ἀποσφενδονούμενοι σφαιρωτοὶ
and the from catapults being-slung round
λίθοι κακῶς ἐτίθουν τὸ στράτευμα, ἀλλὰ καὶ οἱ κατὰ
stones badly treated the army but also those down

πρανοῦς ἐπικυλιόμενοι ἄνωθεν. ἐν πολλοῖς δὲ καὶ τὰ
(a)-slope rolling from-above in many and also the
μὴ ἐφικνούμενα σωμάτων ἐκ τῶν μηχανῶν χερμάδια εἰς
not reaching bodies from the engines stones to
θάνατον κατῆγον οἷς προσεπέλαζον· ταῖς γὰρ ἀνεστηκυίαις
death brought-down whom they-approached on-the for standing-up
πέτραις προσαρασσόμενα, εἶτα τῇ τοῦ ἀφεικότος βέλους
rocks dashing then by-the of-the having-launched missile
σφοδρότητι πρὸς πλεῖστα διαιρούμενα τμήματα, τῇδέ
force into very-many being-split pieces here
τε κἀκεῖσε διακριδὸν σκεδαννύμενα θανατηφόρον ἦσαν
both and-there apart being-scattered deadly were
κακόν. καὶ νυκτὸς δὲ λάθρᾳ τοῦ ἐρύματος ἐξιόντες
evil and by-night too secretly from-the stronghold going-out
οἱ βάρβαροι τάς τε μηχανὰς διέλυσαν ἃς ἐπὶ τῶν
the barbarians the both engines broke-up which on the
ἐκεῖσε γηλόφων διέστησαν Ῥωμαῖοι, καὶ τὸ νυκτοφυλακοῦν
there hillocks set-up (the)-Romans and the night-watching
διαθροήσαντες στράτευμα τῇ τοῦ πρωτοβεστιαρίου
having-alarmed army at-the of-the protovestiarios
Ἰωάννου σκηνῇ φεῦγον ἐπικατέλαβον, ὡς καὶ τοῦτον
John tent fleeing they-overtook so-that also him
θορυβηθέντα ἐξαναστῆναί τε αὐτίκα τοῦ λέχους, ὡς εἶχε
alarmed to-leap-up both at-once from-the bed as he-was
καταδαρθάνων, καὶ δρασμῷ χρήσασθαι ὡρακιῶντα καὶ
sleeping and flight to-use fainting and
ὑπὸ δέους βαλλόμενον. ἀμέλει καὶ τὰ ἐν τῇ σκηνῇ
by fear being-struck indeed and the(-things) in the tent
διελόμενοι, ἐν οἷς ἦν καὶ τὰ βατράχεια τὸ χρῶμα
having-divided among which were also the frog-green the color
πέδιλα τοῦ πρωτοβεστιαρίου, ὅλην ἐκείνην τὴν νύκτα
sandals of-the protovestiarios whole that the night

ἐν μωκείᾳ καὶ γέλωτι τὰ Ῥωμαίων ἐτίθεσαν πράγματα.
in mockery and laughter the of-(the)-Romans they-held affairs
ἔτι δὲ καὶ οἴνων δοχεῖα τυμπανοειδῆ ἐκ λύγων διάκενα
still and also of-wines vessels drum-shaped of withes empty
διαχαλῶντες ἄνωθεν ἐξίστων τῷ δούπῳ τὸ στράτευμα,
letting-down from-above they-startled with-the thud the army
μὴ εἰδὸς ὡς ἐν σκότει τὸ γινόμενον. ταύτῃ τοι καὶ
not knowing as in darkness the happening(-thing) hence surely also
βασιλεὺς τὰ κατὰ σκοπὸν οὐχ ὁρῶν περαινόμενα,
(the)-emperor the(-things) according-to aim not seeing being-accomplished
ἄλλως τε μηδὲ χρονοτριβεῖν ἐκεῖσε προθέμενος, ἐς
besides — not-even to-waste-time there having-intended to
ξυμβάσεις τρέπεται. τοῦ τε οὖν Προσάκου καὶ τῆς
agreements turns — both then of-Prosakos and —
Στρουμίτζης καὶ τῶν χωρῶν τῶν πέριξ Χρύσῳ ἐξίσταται,
of-Strumitza and of-the lands the around to-Chrysos he-gives-up
καὶ μίαν τῶν ἐκ τοῦ γένους συνευνάσαι οἱ συντίθεται,
and one of-the from the family to-bed with-him he-agrees
μὴ γυναικὸς σπανίζοντι. ἀμέλει καὶ εἰσιὼν τὸ Βυζάντιον
not of-wife lacking indeed and entering — Byzantium
τὴν τοῦ πρωτοστράτορος θυγατέρα τοῦ συνοικοῦντος
the of-the protostrator daughter from-the cohabiting(-husband)
ἀπέζευξε, καὶ τῷ Χρύσῳ ταύτην ἐκπέπομφε, νυμφαγωγὸν
he-separated and — to-Chrysos her sent-off bride-escort
ἀναδείξας τὸν σεβαστὸν Κωνσταντῖνον τὸν Ῥαδεινόν.
having-appointed the sebastos Constantine the Radenos
τελεσθέντων δὲ τῶν νυμφευμάτων καὶ τῆς γαμηλίου
having-been-completed and the nuptials and the wedding
δαιτὸς παρατεθείσης ὁ μὲν Χρύσος ἐζωροπότει καὶ ἤσθιε
feast having-been-served — indeed Chrysos drank-neat and ate
τονθευόμενος, ἡ δὲ γυνὴ τὸν τῶν νεονύμφων αἰδουμένη
grunting the but wife the of-the newly-wed respecting

νόμον ἐγκρατῶς εἶχε τῶν παρακειμένων. ἐπιταχθεῖσα
custom with-restraint held from-the(-dishes) set-before having-been-bidden
δὲ πρὸς τοῦ νυμφίου συμμετέχειν ἐκείνῳ βρώσεως, καὶ
and by the bridegroom to-share with-him of-food and
μὴ οὕτως αὐτίκα δράσασα, εἰς ὀργὴν ἐκμαίνει τὸν ἄνδρα.
not thus at-once having-done into anger maddens the husband
ἀμέλει καὶ πλεῖστα καθ' ἑαυτὸν ὑποβαρβαρίσας καὶ
indeed and most to himself having-muttered-barbarously and
θυμομαχήσας ἐφ' ἱκανόν, μεθ' ὑπεροψίας ἔφησεν ὕστερον
having-raged for long with disdain he-said later
„μὴ φάγῃς μηδὲ πίῃς" Ἑλληνίδι φωνῇ.
not eat nor drink in-Greek voice

II · IVANKO'S REVOLT

The Scythians raid Macedonia and plunder the monasteries of Ganos. Alexios gives his daughters Irene and Anna to Alexios Palaiologos and Theodore Laskaris and celebrates with games at Blachernai, where a eunuch official, costumed as the City's eparch, plays the race starter and is kicked by a young noble. Then Ivanko, betrothed to the emperor's granddaughter Theodora, revolts at Philippopolis. He traps the protostrator Manuel Kamytzes with a bait of herds, overruns the land toward Abdera, and butchers captives at his feasts; Alexios seizes Kamytzes' estate.

Τότε δὲ καὶ Σκυθῶν ἔφοδος ἐγεγένητο μεγίστη τε
then and also of-Scythians incursion had-happened greatest both
καὶ φρικαλεωτέρα τῶν πρότερον· εἰς γὰρ τέσσαρα
and more-terrible than-the earlier into for four
διαιρεθέντες στρατεύματα πᾶσαν τὴν Μακεδονίαν ἐπῆλθον,
having-been-divided armies all — Macedonia they-overran
ἀποπειρασάμενοι καὶ πόλεων εὐτειχίστων καὶ κορυφὰς
having-made-trial both of-cities well-walled and peaks

ἐπανιόντες ὀρῶν, ὥστε καὶ τὸ Γάνος τὸ ὄρος
climbing of-mountains so-that even — Ganos the mountain
διερευνησάμενοι πολλὰ φροντιστήρια ἐσκύλευσαν καὶ
having-searched many monasteries they-plundered and
μονάζοντας ἀπέκτειναν, μηδενὸς εἰς χεῖρας τολμῶντος
monks they-killed no-one into hands daring
ἰέναι διὰ δέος, ὅτι καὶ μετ᾽ ἐλαττόνων ἔμελλον πρὸς
to-come because-of fear that even with fewer they-would against
πλείους συμπλέκεσθαι καὶ διὰ τοῦτο τῆς ἑαυτῶν ἐρᾶν
more engage and because-of this the their-own to-love
οὐκ εἶχον ψυχῆς.
not could life
Ὁ δὲ βασιλεὺς τὰς θυγατέρας ὁρῶν ὀργάδας ἐπὶ λέχος
the and emperor the daughters seeing ripe for bed
δεύτερον διὰ νεότητα καὶ ὥραν σώματος ἐφιλοκρίνει
second because-of youth and bloom of-body was-choosy-about
τοὺς συζευξομένους αὖθις αὐταῖς, ὥστε καὶ δυνάστας
those to-be-yoked again to-them so-that even rulers
ἐθνῶν ἐξελέγετο τὰ τῶν Χριστιανῶν πρεσβεύοντας,
of-nations be-picked-out the(-things) of-the Christians professing
οὓς ὡς πολεμίους ἦν δεδιώς. ὀψὲ δὲ τῶν τοιούτων
whom as enemies was having-feared late but from-the such
σκεμμάτων μεθαρμοσθεὶς Ῥωμαίοις αὐτὰς ἐκδέδωκε,
schemes having-changed-course to-(the)-Romans them he-gave
τὴν μὲν Εἰρήνην συνάψας τῷ Παλαιολόγῳ Ἀλεξίῳ,
— indeed Irene having-joined — to-Palaiologos Alexios
διαζευχθέντι πρότερον ἥτις ἐννόμως αὐτῷ ἐγινώσκετο,
divorced earlier who lawfully to-him was-known
ὥρας εὖ ἔχουσα, τὴν δ᾽ Ἄνναν συνηρμόκει Θεοδώρῳ
of-beauty well having — and Anna he-had-joined to-Theodore
τῷ Λάσκαρι, νεανίᾳ τολμητίᾳ καὶ ῥαγδαίῳ πρὸς ἔργα
the Laskaris youth daring and vehement for deeds

πολέμια. ἦν δ' ὁ καιρὸς καθ' ὃν αὗται γεγόνασιν
warlike was and the time at which these have-taken-place
αἱ συνάφειαι ἐγγίζοντος ἀπόκρεω, καὶ τοῦ κηδεστοῦ
the unions approaching (the)-Carnival and the father-in-law
βασιλέως οὔκουν ἐνσχολάσαι προθεμένου σταδιοδρόμων
emperor not-then to-take-leisure intending of-racing
ἵππων ἁμίλλαις οἱ νεόγαμοι ἐνέκειντο θέατρα ἐξαιτούμενοι.
horses in-contests the newlyweds pressed shows demanding
διαιτῶν τοίνυν καὶ βασιλεὺς ἑαυτῷ τε καὶ τοῖς γαμβροῖς
arbitrating therefore also (the)-emperor for-himself both and for-the sons-in-law
εἰς μὲν τὸ μέγα παλάτιον οὐδαμῶς ἀφικνεῖται, οὔτε
into indeed the great palace in-no-way comes nor
μὴν ἐσάνεισι τὸ στάδιον, τὰς δ' ἱππικὰς ἄντυγας εἰς
indeed goes-up-to the stadium the but horse rails into
τὸ ἐν Βλαχέρναις ἀρχεῖον προστάξας ἐνεχθῆναι σχεδιάζει
the in Blachernai residence having-ordered to-be-brought improvises
θέατρον. καὶ δὴ αἱ μὲν φῦσαι τῶν πολυαύλων ὀργάνων
theater and indeed the indeed bellows of-the many-piped organs
κατὰ τὴν ἐκεῖσε αὔλειον εἰς καμπτῆρας διατίθενται,
along the there courtyard as turning-posts are-set-out
εἰς δ' ἔπαρχον τῆς βασιλίδος διασχηματίζεται πόλεως
into and eparch of-the queen is-dressed-up city
ἐκτομίας τις· τὸ δὲ ὄνομα ἑκὼν παραδράμοιμι, πλούτῳ
eunuch a the and name willingly I-would-pass-over in-wealth
δ' ἦν οὗτος περιβριθὴς καὶ μεγίστας χειρίζων ἀρχὰς
and was this(-man) laden and greatest handling offices
καὶ τοῖς περὶ τὴν βασίλειον γραφὴν ἐγγραφόμενος.
and among-those about the imperial register enrolled
πλεγμάτιον τοίνυν ἐκ λύγων συγκείμενον, ὅ φησιν ἡ
little-wicker-frame therefore of withes composed which calls the
δημώδης φράσις ὄνον ξύλινον, χρυσοπάστῳ σάγῳ ζῳωτῷ
popular speech donkey wooden with-gold-spangled cloak figured

ἐς τὸ διαμπερὲς σκεπόμενον διαζωσάμενος τὸ σχέδιον
to the throughout covered having-girded-on the improvised
ἐκεῖνο θέατρον εἴσεισιν, ὅτε καὶ ἦν τὸν αὐτὸν
that theater enters when also it-was-possible the same
ὁρᾶν καὶ ὡς ἀναβάτην μεγαλοπρεπευόμενον καὶ ἵππον
to-see both as rider swaggering and horse
εὐήνια προποδίζοντά τε καὶ χρεμετίζοντα· μετὰ βραχὺ δὲ
obediently prancing both and neighing after short and
κατὰ τοὺς πάλαι τῶν δραμάτων ὑποκριτάς, τὸν ἔφιππον
like the of-old of-the dramas actors the mounted
ἀποδυσάμενος ἔπαρχον, τὸν μαπτάριον ὑποκρίνεται. ἦσαν
having-stripped-off eparch the starter plays were
δὲ οἱ τὸν γυμνικὸν ὑποδύντες ἀγῶνα οὐ τῶν ἐξ
and those the gymnastic having-undertaken contest not of-the from
ἀγορᾶς καὶ τριόδων τινές, ἀλλ' εὐπατρίδαι νεανίαι,
(the)-market and crossroads some but well-born youths
πρώτως φύοντες γένειον. ἐθεᾶτο γοῦν τὰ σκηνικὰ
first growing beard watched at-any-rate the stage
ταῦτα καὶ γελοιώδη ὁ βασιλεὺς παίγνια καὶ ἡ βασιλίς,
these and laughable the emperor games and the empress
καὶ ὅσον αὐτοῖς τοῦ γένους ἐπίσημον, καὶ τὸ τῆς
and as-much-as to-them of-the family distinguished and the of-the
θεραπείας εὐπαρρησίαστον· τοῖς δ' ἄλλοις πᾶσα πάροδος
service free-spoken to-the but others every entrance
ἀποκέκλειστο. ἐπεὶ δ' ἐφειστήκει καιρὸς καθ' ὃν
had-been-shut when and had-come (the)-moment at which
ἔδει πρὸς τὸ τρέχειν γενέσθαι τοὺς τὸν γυμνικὸν
it-was-needful for the to-run to-be those the gymnastic
ἐκτελέσοντας δίαυλον, ὁ μὲν ὑποδὺς τὸν μαπτάριον
about-to-run double-course the indeed having-assumed the starter
εὐνοῦχος, τὴν μέσην εἰληχὼς χώραν, εἰς βραχίονας τὰς
eunuch the middle having-got place to (the)-arms the

χεῖρας ἀνεκάλυψε, καὶ τὸ καταντυγῶδες ἀργύρεον κάλυμμα
hands bared and the rim-shaped silver covering
τῇ κεφαλῇ περιθέμενος ἐκ τρίτου ἦν εἰς τὸ θέειν τὰ
on-the head having-put-on for (the)-third(-time) was to the to-run the
μειράκια προσκαλούμενος· ἑστὼς δέ τις ἐξόπισθεν νεανίσκος
lads calling standing and a behind young-man
εὐγενής, ἀξιώματι λαμπρῷ περίβλεπτος, τοσαυτάκις αὐτὸν
well-born for-rank brilliant admired so-many-times him
τοῦ ποδὸς τῷ πλατεῖ κατὰ τῶν πυγῶν καὶ τῶν
of-the foot with-the flat on the rump and the
γλουτῶν ἔτυπτεν εἰς ἐξάκουστον ὁσάκις συνιζάνων
buttocks struck to audible as-many-times-as squatting
ἐκεῖνος τὸ τοῦ δρόμου παρείχετο σύνθημα.
he the of-the race gave signal
Ἀλλ᾽ οὔπω ἀκριβῶς διηγώνιστο τὰ μειρακιώδη ταῦτα
but not-yet fully had-been-played-out the childish these
ἀθύρματα, καὶ οἰκτρά τις ἀγγελία τὴν ἐν τούτοις διαδέχεται
toys and pitiful a report the in these succeeds
χαρμονήν. ἡ δὲ ἦν τὸ ἀποστῆναι τὸν Ἰβαγκὸν κατὰ τὴν
delight it and was the to-revolt — Ivanko at —
Φιλιππούπολιν. ὡς γὰρ ἄνωθεν εἴπομεν, μετονομασθεὶς
Philippopolis as for above we-said having-been-renamed
ὅδε Ἀλέξιος καὶ γαμβρὸς ἐπὶ θυγατρόπαιδι τῷ
this-man Alexios and son-in-law through (a)-granddaughter to-the
βασιλεῖ γεγονὼς καὶ πλείω τῆς δεούσης ἰσχὺν ὑποδὺς
emperor having-become and more than-the needful power having-assumed
στρατηγεῖν εἰλήφει καὶ προεστάναι τῶν τάξεων αἳ τοῖς
to-command had-received and to-preside-over the ranks which to-the
ὁμογενέσιν αὐτῷ Βλάχοις περὶ τὴν Φιλίππου ἐπαρχίαν
kindred to-him Vlachs about the of-Philip province
ἀντεκάθηντό τε καὶ ἀντεφέροντο. ἀμέλει καὶ τῶν ἐκεῖσε
faced both and opposed indeed and of-the there

χωρῶν φανεὶς κύριος ἦγε τὰ πάντα καὶ ἔφερεν,
lands appearing lord he-drove the all and carried
ἀγχίστροφος ὢν καὶ δραστήριος πρὸς ἅπαν σύνδρομον
quick-turning being and active for every concurrent
ἔργον τοῖς ἐν τῇ ψυχῇ κινήμασι καὶ βουλεύμασιν. ἤσκει
deed with-the in the soul movements and plans he-trained
τε εἰς πόλεμον τὸ περὶ αὐτὸν ὁμόφυλον, δωρεαῖς πιαίνων
and for war the about him kindred(-host) with-gifts fattening
καὶ ὁπλισμοῖς κρατύνων, καὶ φρουρίων ἐρυμνῶν ἀνεγέρσεσι
and with-armaments strengthening and of-forts strong with-buildings
τὰ ἀντικείμενα τῷ Αἵμῳ ὄρει ἀνεπιχείρητα μικροῦ
the(-parts) facing to-the Haimos mountain unassailable by-little
ἀπειργάζετο. βασιλεὺς μὲν οὖν ἐπήνει ταῦτα μανθάνων,
made (the)-emperor indeed then praised these(-things) learning
καὶ δι᾽ αἰδοῦς ἐτίθετο τὸν Ἀλέξιον, πολλαῖς καὶ μεγίσταις
and in respect held — Alexios many and greatest
φιλοφρονούμενος αὐτὸν δωρεαῖς, ἡδέως τε αὐτοῦ ἤκουε,
honoring him with-gifts gladly both him heard
καὶ τὰς αἰτήσεις ἐξεπέραινε ῥᾳδιον· τὰ δὲ παρὰ τοῦ
and the requests fulfilled easily the(-things) but by the
ἀνδρὸς τοῦδε πραττόμενα οἱ περὶ τὸν βασιλέα συνορῶντες
man this being-done those about the emperor observing
καλὰ μὲν ἀπεφαίνοντο εἶναι καὶ ἀρίστως ἔλεγον δρᾶσθαι,
fine indeed declared to-be and excellently said to-be-done
οὐ μὴν καὶ ἐπὶ σκοπῷ Ῥωμαίοις συνοίσοντι παρὰ τοῦ
not however also with aim to-(the)-Romans going-to-profit by the
πράττοντος γίνεσθαι, ὅθεν καὶ παραινέσεις εἰσῆγον τῷ
doer to-be-done whence also exhortations they-brought to-the
αὐτοκράτορι παραλῦσαι τῆς ἀρχῆς τὸν Ἀλέξιον· μηδὲ
autocrat to-release from-the command — Alexios not-even
γὰρ ἂν βάρβαρον ἄνδρα μὴ πάνυ πρώην Ῥωμαίοις
for — barbarian man not very long-ago to-(the)-Romans

πολεμιώτατον οὕτως ἐξαίφνης μεταπεσεῖν εἰς ἀκραιφνῆ
most-hostile thus suddenly to-change to pure
διάθεσιν, ὡς φρούρια καὶ πολίχνια ἐν τοῖς ἐπικαίροις
disposition as forts and towns in the strategic
νεουργεῖν τόποις, καὶ αὔξειν μὲν τὸ ἐμφύλιον αὐτῷ
to-build-new places and to-increase indeed the kindred to-him
στράτευμα, σμικρύνειν δὲ τὸ Ῥωμαϊκόν, ἐνιαχοῦ δὲ καὶ ὡς
army to-diminish and the Roman(-army) in-places and also as
δύσχρηστον τιθέναι ἀπόμαχον, εἰ μή τις αὐτῷ ἐνέσπαρτο
unserviceable to-render unfit-for-battle if not some in-him had-been-sown
τῇ τυραννίδι ἐπιβαλεῖν ἔννοια, ἐπεὶ μηδὲ τά τινων
on-the tyranny to-lay-hands thought since not-even the of-some
ἐννοήματα φιλεῖν πως ἀεὶ ὡς διὰ πυλῶν τῶν χειλέων
thoughts to-tend somehow always as through gates of-the lips
ἐκφέρεσθαι, ἀλλ᾽ ἐν πολλοῖς καὶ φωνῆς τρανότερον ὅσα
to-be-carried-out but in many(-cases) even than-voice more-clearly as-much-as
κέκευθεν ἡ φρὴν αἱ πράξεις ἐξαγγέλλουσιν. οὐ μὴν
has-hidden the mind the deeds announce not however
εἰς ὦτα ἀκουόντων τὰς σοφὰς ταύτας γνώμας ἦσαν
into ears of-(those)-hearing the wise these counsels were
εἰσηγούμενοι· ὁ γὰρ βασιλεὺς ἐχέγγυον εἰς πίστιν τὸν τῆς
proposing the for emperor pledge for loyalty the of-the
υἱωνοῦ Θεοδώρας γάμον καθάπαξ ὑπολαβὼν οὐκ ἔστιν
granddaughter Theodora marriage once-for-all having-supposed not it-is
ὅπως ἐπὶ πᾶσιν οὐκ ἀσφαλῆ τὰ πρὸς εὔνοιαν καὶ
how in all not secure the(-things) toward goodwill and
ἀπρόσκοπον ἔκρινε τὸν Ἀλέξιον, καταγοητευούσης, οἶμαι,
blameless judged — Alexios bewitching I-think
κἀνταῦθα τῆς κακοποιοῦ δυνάμεως τῆς ἐπὶ τὸ κάταντες
here-too the evil-working power the to the downward
ἀεὶ φερούσης τὰ Ῥωμαίων πράγματα. ὡς δ᾽ οὐ πολλῷ
always bearing the of-(the)-Romans affairs when but not by-much

ὕστερον εἰς ἔργον τὸ δέος ἐκβέβηκεν, ἐννεὸς ἐπὶ τοῖς
later into deed the fear came-out dumbfounded at the(-things)
ἠκουσμένοις φανεὶς καὶ μὴ ἔχων ὅ τι καὶ δράσειεν
heard appearing and not having what — even he-should-do
ὡς ἀναρραγέντος τοῦδε τοῦ κακοῦ ἀπροόπτως, καὶ ὅτι
as having-burst-out this the evil unforeseeably and that
τῶν στρατευμάτων ἐργώδης ἡ συλλογή, ἐν μὲν τῷ
of-the armies laborious the gathering in indeed the
παραυτίκα στέλλει πρὸς τὸν ἀποστάτην Θλαδίαν τινά, τὰ
immediate he-sends to the rebel Thladias one the
πρῶτα τῶν ᾠκειωμένων αὐτῷ, ὑπομνήσοντα τοῦτον τῶν
first of-the intimates to-him to-remind him of-the
συνθηκῶν καὶ τοῦ μηδέν τι πώποτε παθεῖν ἀηδὲς καὶ
agreements and of-the nothing — ever to-suffer unpleasant and
τῶν ἐλπίδων ἀνάξιον, ἐξ ὅτου περ αὐτῷ προσκεχώρηκεν·
of-the hopes unworthy from when — to-him he-had-come-over
οὐδὲ γὰρ ἦν ἀπογινώσκων τὴν τῆς γνώμης μεταβολήν.
not for was despairing-of the of-the mind change
τοῦ δὲ κατόπιν καὶ οἱ νεόνυμφοι γαμβροὶ τοῦ βασιλέως
him and behind also the newly-wed sons-in-law of-the emperor
συνεξήεσαν μετά γε παντὸς τοῦ οἰκιδίου καὶ συγγενικοῦ
went-out-together with at-least all the household and kindred
πληρώματος καὶ τῶν τότε ἐν τῷ παλατίῳ εὑρισκομένων
company and of-the then in the palace found
στρατιωτῶν. ἀφιγμένος οὖν ὁ βέβηλος εὐνοῦχος πρὸς
soldiers having-arrived then the profane eunuch to
τὸν Ἀλέξιον οὐ μόνον οὐδέν τι πρὸς τὴν ὑπόθεσιν ὡράθη
— Alexios not only nothing — toward the purpose was-seen
διαπραξάμενος, ἀλλὰ καὶ προσεπέρρωσε μᾶλλον ἐκεῖνον
having-accomplished but also strengthened more him
τῇ ἰδίᾳ παρουσίᾳ εἰς ἔργον τὸ ἐν χερσί, προσημάνας
by-the own presence for (the)-work the in hand having-forewarned

προπετῶς τὴν κατ᾽ αὐτοῦ τῶν Ῥωμαίων ὅσον οὐδέπω
rashly the against him of-the Romans as-much not-yet
ἐπέλευσιν, καὶ διδάξας οἷς εἴρηκεν ἀποσχέσθαι μὲν
attack and having-taught by-what he-said to-keep-away indeed
τῶν πεδινῶν ἐπιλαβέσθαι δὲ τῶν ὀρεινῶν, ὡς ἐκείνων
from-the plains to-seize and the mountains as those
σώζειν ἐχόντων καὶ τὸ συναποστὰν ὁμόφωνον σύνταγμα.
to-save being-able also the joining-the-revolt like-speaking corps
οἱ δὲ περὶ τοὺς γαμβροὺς τοῦ βασιλέως καὶ τὸν
those and about the sons-in-law of-the emperor and the
πρωτοστράτορα Μανουὴλ τὸν Καμύτζην ἐδίωξαν μὲν
protostrator Manuel the Kamytzes pursued indeed
ὀπίσω ἱκανῶς τοῦ ἀντάρτου, καὶ ἦν θαυμαστή τις ἡ
behind sufficiently the rebel and was wonderful some the
προθυμία, καὶ πρωταγωνιστεῖν ἠβούλοντο ξύμπαντες· τὴν
eagerness and to-take-the-lead wished all the
δὲ τοῦ καιροῦ ῥοπὴν ἀπολέσαντες ἐκ τοῦ διασοβηθῆναι τὸ
but of-the moment turn having-lost from the to-be-scared-off the
θήραμα τὸ πρόθυμον ἔσχασαν. τοῖς μὲν οὖν θερμοτέροις
quarry the eagerness slackened to-the indeed then hotter
ἐπιδιώκειν καὶ οὕτως ἐδόκει καὶ διερευνᾶν ἐφέποντας οἷ
to-pursue even thus seemed-good and to-search following where
τῶν ὀρέων ἀπέδρα Ἀλέξιος, τοῖς δ᾽ ἀσφαλεστέροις οὐχ
of-the mountains escaped Alexios to-the but more-cautious not
ἥνδανεν ὅλως ἀετοῦ ἴχνη ἀναδιφᾶν ἐπιποτωμένου πάγοις
it-pleased at-all of-eagle tracks to-search-out flying-over crags
καὶ ὄρεσιν, ἢ μεταλλᾶν ἑρπυσμὸν ὄφεως ἐπὶ πέτραν, ἢ
and mountains or to-explore creeping of-snake on rock or
ἐκμαίνειν εἰς συμπλοκὴν χαυλιόδοντα μονιόν, πολλάκις
to-madden into fight tusked boar often
τὸ στῆθος εἰς διακόντισιν προτεινάμενον, περιελθεῖν δὲ
the breast to spear-thrust offering to-go-around and

τὰ πολίχνια ὁπόσα ἐπεσκεύασε καὶ ἀνήγειρεν ὁ Ἀλέξιος,
the towns as-many-as repaired and raised — Alexios
καὶ θέσθαι βασιλεῖ κατήκοα. καὶ τῆς βουλῆς ταύτης
and to-make to-(the)-emperor subject and the plan this
ὡς ἀμείνονος κυρωθείσης, τῷ φρουρίῳ προσβάλλουσιν
as better having-been-ratified the fort they-attack
ὃ καθ' ὑπόβασιν ὄρους ἐν τόπῳ Κριτζιμῷ λεγομένῳ
which at (the)-foot of-mountain in place Kritzimos called
ἐδομήσατο ὁ Ἀλέξιος· ἔνθα καὶ πλεῖστα Ῥωμαῖοι καμόντες
built — Alexios where also very-much (the)-Romans having-toiled
καὶ φιλοκινδύνως ἁμιλλησάμενοι οὐκ ὀλίγους ἄνδρας
and venturously having-striven not few men
ἀγαθοὺς ἐν τῷ προσάγειν τῷ τείχει τὰς κλίμακας
good in the to-bring-up to-the wall the ladders
ἀπεβάλοντο, ὧν ἦν πρώτιστος ὁ Παλαιολόγος Γεώργιος.
lost of-whom was foremost — Palaiologos George
ὀψὲ δ' ἐξελόντες τὸ ἔρυμα καὶ ἕτερ' ἄττα πολίσματα
late but having-taken the stronghold and other some towns
ἐπὶ τῷδε συναφῶς ἐχειρώσαντο, πῇ μὲν μεθ' αἵματος
upon this in-succession they-subdued here indeed with blood
πῇ δὲ καὶ ὁμολογίᾳ τούτων περιγινόμενοι. εὐμήχανος δ'
there and also by-agreement them overcoming resourceful but
ὢν ὁ Ἀλέξιος καὶ πολύχους εἰς ἔργα πολέμια ἄλλα τε
being — Alexios and fertile for deeds warlike others both
πλεῖστα κατὰ Ῥωμαίων ἔργα στρατηγικῆς ἐμπειρίας πλήρη
very-many against (the)-Romans deeds of-generalship experience full
μαχόμενος ἐπεδείξατο, τέλος δὲ καὶ τοιόνδε τι μεθόδευμα
fighting displayed finally and also such a stratagem
μετιὼν δεξιώτατον σὺν ἄλλοις καὶ αὐτὸν χειροῦται τὸν
pursuing most-clever with others also himself he-subdues the
πρωτοστράτορα. πλεῖστα γὰρ ὅσα τῶν ἀγελαίων ζώων
protostrator very-many for as-many-as of-the herd animals

ἐκ τῶν περιωπῶν εἰς τὸ πεδίον μετενεγκών, καὶ ταῦτα
from the heights into the plain having-brought and these(-things)
παραδοὺς τοῖς πρὸς Αἷμον ἀπάξουσιν ὁμοφύλων
having-handed-over to-the to (the)-Haimos going-to-lead-away of-kinsmen
μετὰ καὶ μοίρας αἰχμαλώτων Ῥωμαίων ὥσπερ τι σκύλων
with also portion of-captive (the)-Romans as-if some of-spoils
ἀφαίρεμα καὶ ἀπόδασμα τῷ ἄρχοντι τῆς Ζαγορᾶς Ἰωάννῃ
first-fruits and portion to-the ruler — of-Zagora John
καὶ χάριν ἀμοιβὸν ἐσόμενα, ἐπεὶ καὶ σπεισάμενος Ἀλεξίῳ
and favor in-return going-to-be since also having-made-treaty with-Alexios
ἐκεῖνος κατὰ Ῥωμαίων διαθήκας διέθετο, λόχους ἔκτοτε
he against (the)-Romans compacts made ambushes thereafter
ὑποκαθίσας Ῥωμαίους ἐπάλευεν· ἤδει γὰρ τὸ ἁρπαλέον
having-set (the)-Romans he-decoyed he-knew for the greedy
καὶ πρὸς κέρδος ἑτοιμοτρεχὲς τῶν ἀνδρῶν, οὐδ' ἦν
and toward gain ready-running of-the men nor was
ἀγνοῶν ὡς αὐτίκα μάλα τοῖς φιλικοῖς ἐντυχόντες σφίσι
unaware that at-once very upon-the friendly(-things) coming to-them
Ῥωμαῖοι τὰς ψυχὰς αὐτοῖς ἐπιθήσουσιν ἐξερεθισθέντες
(the)-Romans the souls on-them will-set aroused
καὶ μηδένα λόγον τῆς σωτηρίας ἑαυτῶν ποιησάμενοι.
and no account of-the safety of-themselves having-made
ἀμέλει καὶ εἶχε Ῥωμαίους μετὰ μικρὸν αὐτὰ ταῦτα
indeed and he-had (the)-Romans after little themselves these(-things)
διαπραττομένους, ὁπόσα κατὰ νοῦν ἔστρεφεν. ὁ γὰρ δὴ
doing as-many-as in mind he-turned the for indeed
πρωτοστράτωρ ἅμα τῇ ἀκοῇ τῶν δρωμένων ἐκ
protostrator at-once with-the hearing of-the(-things) being-done from
τοῦ Βατραχοκάστρου ἀπάρας, ἔνθα ἦν σκηνούμενος, ἐς
— Batrachokastron setting-out where he-was encamped to
τὸ Βακτούνιον παραγίνεται. καὶ τῷ φαινομένῳ προσσχών,
— Baktounion arrives and to-the apparent attending

τὸ δὲ σόφισμα τοῦ Ἀλεξίου παραδραμών, τὰ ἐν
the but trick — of-Alexios overlooking the(-things) in
ὀφθαλμοῖς σκυλεύειν διαφῆκε τὸ στράτευμα, καὶ αὐτὸς
eyes to-plunder let-go the army and himself
δὲ μὴ πολεμιστηρίῳ ἵππῳ ἔποχος ὢν ἐπιπαριὼν ἐθεᾶτο
too not war horse riding being riding-past watched
τὰ δρώμενα. ἐκ δὲ τούτου τῶν λόχων ἀνακύψας
the(-things) being-done from and this the ambushes having-emerged
Ἀλέξιος ὡς ἐς κύκλωμα τὸν πρωτοστράτορα περίεισι,
Alexios as into ring the protostrator surrounds
καὶ ὥσπερ ἀμφίβληστρον ἢ σαγήνην τὸ περὶ αὐτὸν
and like casting-net or dragnet the about him
ἐκτείνας ὁπλιτικὸν αὐτόν τε τὸν στρατηγοῦντα ζωγρεῖ,
having-spread heavy-armed(-force) himself both the commanding(-man) takes-alive
καὶ τὸ κλέμμα τοῦτο τοῦ ἀποστάτου καὶ διανόημα τὴν
and the theft this of-the rebel and device the
μὲν περιλειφθεῖσαν Ῥωμαϊκὴν στρατιὰν ἐξενεύρισε τέλεον,
indeed surviving Roman army hamstrung completely
τὸ δ' ἀποστατικὸν ἐπτέρωσε πλήρωμα. οὐκέτι γοῦν
the and rebel winged force no-longer at-any-rate
ηὐχρήστουν Ῥωμαῖοι ἢ γοῦν ἀπεθάρρουν ἀντιμέτωποι
were-fit (the)-Romans or at-any-rate dared face-to-face
στῆναι τῷ Ἀλεξίῳ κατὰ μάχην ἀγχώμαλοι, ἀλλὰ περὶ
to-stand — against-Alexios in battle evenly-matched but around
τὴν Φιλίππου στρεφόμενοι ἠγάπων εἰ μὴ καὶ ταύτην
the of-Philip(-city) turning were-content if not even this
Ἀλέξιος παραστήσεται. ὁ δὲ πρὸς τὸ δοκοῦν οἱ
Alexios will-bring-over he and to the seeming to-him
καταστησάμενος ὅσα πολισμάτιά τε καὶ φρούρια εἰς
having-settled as-many-as small-towns both and forts on
ὀρῶν ὑπερβολὰς ἀνεστήκασιν ἀντικαθιστάμενα τῷ
of-mountains heights stand set-opposite to-the

Αἷμῳ καὶ ἀνυψούμενα καὶ ταῖς δυσχωρίαις οὐχ ἧττον
Haimos and lifted-high and in-the rough-terrain not less
φιλοτιμούμενα, οὐδὲ τὰ λοιπὰ μένειν ἐπὶ χώρας κατέλιπεν,
priding-themselves not-even the rest to-stay in place he-left
ἀλλ' ἦν ὑπονοθεύων καὶ ἀφιστῶν Ῥωμαίων ὁπόσα ἐς
but was corrupting and detaching from-(the)-Romans as-many-as toward
Μοσυνόπολιν ἐπινένευκε, μέχρι καὶ Ξανθείας αὐτῆς, καὶ
Mosynopolis incline as-far-as even Xantheia itself and
πρὸς ὄρος τὸ Πάγγαιον καὶ ἐπ' Ἄβδηρα παρατείνουσιν.
toward mountain — Pangaion and to Abdera extend
ἀμέλει καὶ τὸ θέμα τῶν Σμολένων ὑπεποιήσατο, καὶ τὰ
indeed also the theme of-the Smolenoi he-won-over and the
ὅμορα ἐπενέμετο κατὰ καχέκτημα διαδόσιμον, ἐξαιρῶν
bordering(-lands) he-overran like disease spreading removing
μὲν Ῥωμαίους καὶ ἀναιρῶν, ἀπ' ἐνίων δὲ καὶ λύτρα
indeed (the)-Romans and slaying from some and also ransoms
διαλαμβάνων, τοὺς δ' ὁμογενεῖς ἐκείνῳ προστιθεμένους
taking the and kinsmen to-him joining
ἑκόντας ἐπὶ τῶν σφετέρων μένειν ἐῶν. καὶ ὁ μὲν
willing on the their-own to-remain allowing and he indeed
ἐμπλατυνόμενος ἦν ἀεὶ καὶ μακρῷ κακίων τῶν πρώην
spreading-wide was ever and by-far worse than-the earlier
ἀποστατῶν, ἐπεὶ καὶ ἐς τοσοῦτον ὠμότητος ἤλασεν, ἣν
rebels since also to such-a-degree of-cruelty he-drove which
ἀνδρείαν οἱ πλεῖστοι τῶν βαρβάρων οἴονται, ὡς τοὺς ἐν
courage the most of-the barbarians think as the in
πολέμῳ ζωγρουμένους Ῥωμαίους κατὰ πότον μελιστὶ
war captured (the)-Romans at drinking limb-from-limb
διαιρεῖν· ὁ δὲ βασιλεύς, ὡς ἐξ ὧν ἔδρασε καθυπέδειξεν,
to-divide the and emperor as from what he-did showed
ἔρμαιόν τε καὶ χάριεν καὶ κάλλιστον τύχης βράβευμα τὴν
windfall both and pleasant and finest of-fortune prize the

τοῦ πρωτοστράτορος ᾠήθη κατάσχεσιν, ὅθεν τῇ τοῦ
of-the protostrator thought detention whence upon-the of-the
ἀνδρὸς ἐπιθέμενος οὐσίᾳ ῥυηφενεῖ καὶ τυραννικῇ ἄντικρυς
man having-set estate wealthy and tyrannical outright
οὔσῃ, καὶ μηδὲν αὐτῆς ἀναψηλάφητον ἢ ἀνεξερεύνητον
being and nothing of-it unfingered or unsearched
ἀφεικώς, ἀλλὰ καὶ τὴν γυναῖκα καὶ τὸν υἱὸν ὑποδικάσας
having-left but also the wife and the son having-sentenced
φρουρᾷ, οὐκ οἶδ' ὅ τι δοκοῦν, ἔαρος ὑπολήγοντος ἔξεισι
to-prison not I-know what — seeming spring ending goes-out
καὶ ἄπεισιν εἰς τὰ Κύψελλα,
and goes-off to — Kypsella

III · THE EUCHARIST DISPUTE

A dispute over the Eucharist divides the faithful and is argued in the markets. Begun under the patriarch George Xiphilinos by the false monk Sikidites, it should have been cut out by his successor John Kamateros, who instead argues it in sermons. One side holds that the body received is incorruptible, as after the resurrection, and received whole, like a seal's impression or a voice heard by many; the other, that it is a sacrifice only, corruptible and received in part.

ὅτε καὶ τὸ περὶ τῶν θείων μυστηρίων ἀνακαλυφθὲν δόγμα
when also the about the divine mysteries uncovered doctrine
πρὸς μοίρας ἐναντίας διέστησε τὸ Χριστώνυμον, καὶ
into parties opposed divided the Christ-named(-people) and
λαμπρῶς ἐπ' ἀγορᾶς καὶ τριόδων παρὰ τοῦ βουλομένου
openly in (the)-market and crossroads by the wishing
παντὸς τὰ τιμῆς ὁμοῦ καὶ σιγῆς ἐξεφαυλίζετο ἄξια.
everyone the(-things) of-honor together and of-silence were-cheapened worthy

Μετὰ γὰρ τὸν Ξιφιλῖνον Γεώργιον, ὃς ἔτεσιν ἑπτὰ τὴν
after for — Xiphilinos George who for-years seven the
ἐκκλησίαν διεκυβέρνησεν, ὁ Καματηρὸς Ἰωάννης τὸν
church governed — Kamateros John the
πατριαρχικὸν εἴληφε θρόνον, καὶ δέον τὸ ἐπὶ τῶν
patriarchal received throne and it-being-needful the in the
ἡμερῶν τοῦ Ξιφιλίνου ἀρξάμενον ὑπολαλεῖσθαι καὶ φύεσθαι
days — of-Xiphilinos having-begun to-be-whispered and to-grow
δόγμα πρόρριζον ἐκτεμεῖν, καὶ καθυποβαλεῖν μὲν ἀναθέματι
doctrine by-the-roots to-cut-out and to-subject indeed to-anathema
τὸν γεννήτορα τούτου τὸν ψευδομόναχον Σικιδίτην ὡς
the begetter of-it the false-monk Sikidites as
αἱρεσιάρχην καὶ νέα ἐπεισάγοντα δόγματα, τοὺς δ' ἄλλους
heresiarch and new introducing doctrines the and others
ἐχεμυθεῖν πεῖσαι τῷ καθ' ἑαυτὸν ὑποδείγματι ὡς
to-keep-silent to-persuade by-the according-to himself example so-that
εἶναι τὸ μυστήριον αὖθις μυστήριον, ὁ δὲ λογικαῖς μεθόδοις
to-be the mystery again mystery he but logical methods
ἐχρῆτο καὶ ἀποδείξεσι βιαζομέναις εἰς συγκατάθεσιν τὸν
used and proofs forcing into assent the
προσδιαλεγόμενον ἐν τοῖς ὑπερφυέσι καὶ μηδὲν ἔξωθεν
interlocutor in the supernatural(-things) and nothing from-outside
δεομένοις ἐπιτεχνήσεως. ἀλλὰ καὶ κατηχητηρίους συντιθεὶς
needing of-contrivance but also catechetical composing
λόγους τὴν τῶν νηστίμων ἡμερῶν προθεσμίαν ἐφεστάναι
discourses the of-the fasting days appointed-time to-be-at-hand
προκαταγγέλλοντας καὶ τοὺς τῆς πνευματικῆς πάλης
forewarning and those of-the spiritual wrestling
πρὸς τὸν ἀγῶνα ὑπαλείφοντας, ἐν μέρει μνημονεύων τοῦ
for the contest anointing in part mentioning the
δόγματος ὅπως μὲν συνεζητήθη καὶ τίνα τὰ παρ'
doctrine how indeed it-was-debated and what the(-things) by

αὐτοῦ δοξαζόμενα καὶ ἅ φασιν οἱ ἀντίφρονες σιωπῇ
him held and what say the opponents in-silence
παρεδίδου, οἶμαι τὴν ἀντίφασιν ἐκτρεπόμενος, τῷ δὲ
he-passed-over I-think the contradiction avoiding the but
δόγματι ἐπιβάλλων ἐκεῖνα κινῶν κατηγόρευεν ἃ οὐδ'
doctrine assailing those(-things) moving he-charged which not
ὅλως ᾔδεσαν οὐδ' ἐβάλλοντό ποτε κατὰ νοῦν. ζητήσεως
at-all they-knew nor considered ever in mind question
γὰρ οὔσης εἰ τὸ μεταλαμβανόμενον ἅγιον σῶμα Χριστοῦ
for being whether the partaken holy body of-Christ
ἄφθαρτόν ἐστιν ὁποῖον μετὰ τὸ πάθος καὶ τὴν ἀνάστασιν,
incorruptible is such-as after the passion and the resurrection
εἴτε μὴν φθαρτὸν ὡς πρὸ τοῦ πάθους, οἱ μὲν ἔλεγον
or indeed corruptible as before the passion some indeed said
ἄφθαρτον· ὁμολογίαν γάρ τινα καὶ ἀνάμνησιν εἶναι τοῦ
incorruptible confession for a and remembrance to-be of-the
τεθνάναι τε καὶ ἀναβιῶναι δι' ἡμᾶς τὸν κύριον τὴν
to-have-died both and to-have-come-to-life for us the Lord the
τῶν θείων μυστηρίων μετάληψιν κατὰ τὸν μέγαν ἐν
of-the divine mysteries partaking according-to the great in
θεολογίᾳ Κύριλλον, καὶ ὡς ὃ ἂν μέρος τις δέξηται,
theology Cyril and that whatever — part anyone receives
ἐκεῖνον εἰσδέχεται ὅλον τὸν παρὰ τοῦ Θωμᾶ ψηλαφηθέντα,
that he-receives whole the by — Thomas touched
καὶ ὡς ἐσθίεται μετὰ τὴν ἀνάστασιν, καθὼς ὁ χρυσοῦς
and that it-is-eaten after the resurrection as the golden
τὴν γλῶτταν Ἰωάννης φησὶ πρὸς τοῖς ἑπομένοις „ὦ
the tongue John says besides the following O
τοῦ θαύματος, ὁ ἐν δεξιᾷ τοῦ πατρὸς καθήμενος
the wonder the(-one) on (the)-right of-the father sitting
ἐν ταῖς χερσὶν ἡμῶν εὑρίσκεται τῶν ἁμαρτωλῶν" καὶ
in the hands our is-found of-the sinners and

πάλιν „ἤνθησεν ἐν τῷ νόμῳ, ηὔξησεν ἐν τοῖς προφήταις,
again it-blossomed in the law it-grew in the prophets
ἡ γῆ τοῖς βαδίζουσι, ποθεινὴ δὲ καὶ αὐτοῖς ἐδόκει τις
the earth to-those walking longed-for and also to-them it-seemed one
ἐντυχεῖν. πολλὰ δὲ καὶ παντοῖα διακινδυνεύσαντες ἀγαπητῶς
to-meet many and also various having-run-risks contentedly
καὶ μόλις περὶ τὴν Πρίγκιπον διασώζονται, ἐκ δὲ ταύτης
and barely about — Prinkipos are-saved from and this
τοῦ κύματος ἠρεμήσαντος ἐς Χαλκηδόνα καταίρουσιν· ἔνθα
the wave having-calmed to Chalcedon they-put-in where
τοῦ ἰλίγγου ἀνεθέντες καὶ τὴν ἅλμην ἀποπτύσαντες,
from-the dizziness relieved and the brine having-spat-out
καὶ λήθης βυθῷ παραδόντες τὰ χαλεπὰ τοῦ κινδύνου
and of-forgetfulness to-deep having-consigned the harsh(-things) of-the danger
καὶ φοβερά, ἐς τὸ μέγα διαπεραιοῦνται παλάτιον, ἁμίλλας
and fearful to the great they-cross palace contests
τελέσοντες ἵππων καὶ θεάτροις τὸν δῆμον δεξιωσόμενοι.
to-hold of-horses and with-shows the people to-entertain
ὡς οὖν εἰλήφει πέρας καὶ τάδε, βασιλεὺς μὲν ἀπελθεῖν ἐς
when then had-taken end also these (the)-emperor indeed to-go-off to
Βλαχέρνας αὐτίκα ἤθελε, τῆς δὲ τῶν Ῥωμαίων ἀκαιρίας
Blachernai at-once wanted the but of-the Romans untimeliness
προσισταμένης (οἱ γὰρ ἐς ἡμᾶς αὐτοκράτορες καὶ μέχρι
standing-in-the-way the for down-to us autocrats even as-far-as
βηματίσαι τὴν τῶν ἄστρων θέσιν περιεργάζονται) τὴν
to-pace the of-the stars position busy-themselves the

πρώτην τῶν νηστειῶν ἑβδομάδα τῷ μεγάλῳ παλατίῳ
first of-the fasts week in-the great palace
προσέμενεν οὐχ ἑκών. ὡς δ᾽ ἦν ἡ ἕκτη τῶν ἡμερῶν
he-stayed not willing when and was the sixth of-the days
οὐκ ἀνάρσιος πρὸς μετάβασιν, καὶ μάλιστα τῷ βαθέος
not unsuited for removal and most for-the at-deep
ὄρθρου μεθισταμένῳ, ἔγνω μεταναστεῦσαι κνεφαῖος καὶ
dawn moving he-resolved to-move in-the-dark and
μήπω τοῦ ἡλίου διασπείραντος τὰς ἀκτῖνας τὰς Βλαχέρνας
not-yet the sun having-scattered the rays — Blachernai
καταλαβεῖν. ἥ τε οὖν τριήρης παρὰ ταῖς ἀκταῖς τῶν
to-reach the both then trireme by the shores of-the
ἀρχείων ἐσάλευεν, καὶ τὸ συγγενὲς ἅπαν τοῦ βασιλέως
palace was-rocking and the kin all of-the emperor
παρ᾽ αὐτὸν μετὰ φώτων συνήλιστο, σύμπλουν ἐσόμενον·
beside him with lights had-gathered fellow-voyagers to-be
τοῦ θεοῦ δὲ δεικνύντος ὡς κύριός ἐστιν ὡρῶν καὶ χρόνων
— God but showing that lord he-is of-hours and times
αὐτός, καὶ παρ᾽ αὐτοῦ κατευθύνεται εἴτε μὴν συμποδίζεται
himself and by him are-directed or indeed are-hampered
τά τινων διαβήματα, τὸ πρὸ τῆς βασιλείου κλίνης δάπεδον
the of-some steps the before the imperial bed floor
αὐτομάτως ὑποχαλᾷ καὶ εἰς χάσμα ἱκανῶς διανοίγεται.
of-itself gives-way and into chasm amply opens
καὶ βασιλεὺς μὲν παραδόξως τοῦ κινδύνου ῥύεται,
and (the)-emperor indeed unexpectedly from-the danger is-rescued
ἄτερος δὲ τῶν τούτου γαμβρῶν ὁ Παλαιολόγος Ἀλέξιος
one-of-two but of-the his sons-in-law — Palaiologos Alexios
καὶ συχνοὶ ἄλλοι ἐνίσχονται τῷ διαστήματι καὶ πάσχουσι
and many others are-caught in-the gap and suffer
κακῶς τὰ βάθρα τοῦ σώματος· εἷς δέ τις ἐκτομίας
badly the foundations of-the body one and a eunuch

καὶ ἐτεθνήκει, εἰς τὸ βάθιστον τοῦ χάσματος καταδύς.
also died into the deepest of-the chasm having-sunk
οἵαν μὲν οὖν ἔννοιαν ἢ μετάνοιαν ἐπὶ τούτοις εἴληφεν
what indeed then thought or repentance at these took
ὁ κρατῶν, οὐδαμῶς ἔχω ἐπεξιέναι· ὃ δὲ κατὰ πόδας
the ruler in-no-way I-can to-relate what but at heels
ἐπηκολούθησε, τοῦτο δὴ καὶ τῇ ἱστορίᾳ παραδίδωμι.
followed this indeed also to-the history I-hand-over

VII · EUDOKIA; VARNA

Stephen, son of Nemanja, accuses his wife Eudokia, Alexios's daughter, of adultery and drives her out stripped to her shift; his brother Vukan sends her to Dyrrachion and later expels Stephen. John of Mysia takes Konstantia and, on Holy Saturday, Varna, burying its defenders alive in the ditch. The protostrator Kamytzes, freed through Chrysos, asks the emperor to pay the ransom and, refused, joins Chrysos in overrunning Pelagonia and Thessaly, while Spyridonakes revolts. The emperor's son-in-law Alexios Palaiologos crushes Spyridonakes; the emperor wins back the lands by betrothing Theodora to Chrysos and makes peace with John.

Τῷ βασιλεῖ τῷδε καὶ τρίτη θυγάτηρ ἦν, Εὐδοκία τοὔνομα.
to-the emperor this also third daughter was Eudokia by-name
ταύτην ἔτι τοῦ τεκόντος Ἀνδρόνικον ἐκδιδράσκοντος
her still the father Andronikos fleeing
Ἰσμαηλίτας τε καὶ Παλαιστίνην περιόντος πλάνητος
Ishmaelites both and Palestine going-around (a)-wanderer
ὁ πατράδελφος Ἰσαάκιος ἑνὶ τῶν παίδων ἐκδέδωκε
the uncle Isaac to-one of-the sons gave-in-marriage
τῷ Στεφάνῳ τοῦ Νεεμάν· ἦν δ' οὗτος ἡγεμὼν τῶν
— to-Stephen — of-Nemanja was and this(-man) ruler of-the
Τριβαλλῶν. ἀλλ' ὁ μὲν βραχὺν ἐπιμείνας τῇ ἀρχῇ
Triballians but he indeed short having-remained in-the rule

χρόνον τὸ ὄρος ἄνεισι τὸ Παπύκιον καὶ βίον ὕπεισι
time the mountain goes-up — Papikion and life enters
τὸν μοναδικόν· ὁ δέ οἱ υἱὸς Στέφανος κληροῦχον τῆς
the monastic the and his son Stephen heir of-the
πατρῴας σατραπείας τὴν Εὐδοκίαν δεικνὺς ἡλίους συχνοὺς
paternal satrapy — Eudokia showing suns many
ἐξεμέτρησε, καὶ παίδων ἐξ αὐτῆς ἀκούει πατήρ. καινοτόμος
measured-out and of-children from her is-called father innovator
δ' ὢν ὁ χρόνος καὶ προβολεὺς τῶν ἀνομοίων ἄληκτος
but being the time and producer of-the unlike(-things) unceasing
διΐστησιν ἀμφοτέρους τῆς πρὶν ἑνότητος καὶ συμπνοίας,
separates both from-the former unity and harmony
οὐκ ἄχρι τῶν ἐσχάτων ἀναπνοῶν συμφυΐαν παρεὶς
not until the last breaths union having-allowed
ἀνόθευτον, ὃ τοῖς ἐχέφροσι συζυγίταις πλήρωμα τῆς
unadulterated which to-the sensible spouses fullness of-the
ἀνθρωπίνης εὐδαιμονίας κρίνεται. οὐκοῦν ὁ μὲν τῇ γυναικὶ
human happiness is-judged therefore he indeed to-the wife
ἐνεκάλει τὸν τῆς ψωρώδους ἀκρασίας ὀδαξησμόν, ἡ δὲ
charged-with the of-the itchy incontinence itching she and
τἀνδρὶ προσῆπτε τὸν εὐθὺς ἐξ ἑωσφόρου ἀκροχάλικα
to-the-husband attached the straight from (the)-morning-star tipsy(-one)
καὶ τὸ μὴ πίνειν ὕδατα ἐξ οἰκείων ἀγγείων καὶ τὸ
and the not to-drink waters from own vessels and the
κρυφίων ἄρτων ἐμπίπλασθαι. καὶ προβαινούσης οὕτω τῆς
of-secret loaves to-be-filled and advancing thus the
διχονοίας ἀεὶ ἐπὶ μέγα σκέπτεταί τι βαρβαρώτερον ἔργον
discord ever to great considers some more-barbarous deed
ὁ Στέφανος, καὶ αὐτὸ μέτεισι· πλασάμενος γάρ, ἤτοι καὶ
— Stephen and it pursues having-feigned for or-indeed also
φάμενος ἀληθῶς, μοιχευομένην ἁλῶναι τὴν Εὐδοκίαν
saying truly committing-adultery to-have-been-caught — Eudokia

παντὸς ἀπογυμνοῖ περιβλήματος γυναικείου, τὸν ἔσχατον
of-every strips covering womanly the innermost
αὐτῇ καὶ λεπταλέον χιτῶνα μόνον καταλιπών, καὶ τοῦτον
to-her and thin tunic only having-left and this
κύκλῳ περικοπέντα ὡς μόλις περιστέλλειν τὰ τῶν μελῶν
in-circle cut-around so-that barely to-cover the of-the limbs
ἀσχήμονα, καὶ διαφήσιν οὕτως ἀτίμως, ἔνθα καὶ διοργῴη
shameful(-parts) and lets-go thus dishonorably where also she-might-desire
πορεύεσθαι. πρὸς δὲ ταυτηνὶ τὴν πρᾶξιν τὴν ὄντως
to-go against and this the act the truly
ἄσεμνον καὶ ἀπότομον καὶ τὴν ὑπέρογκον ἀμυντηρίαν ὁ
indecent and severe and the excessive punishment the
ἀδελφὸς ἀντιστὰς Βόλκος ἔς τε τὸ ἀπάνθρωπον ἦθος
brother having-opposed Vukan for both the inhuman character
ὠνείδισε τὸν κασίγνητον, μεθαρμοσθῆναί τε τῆς ὀργῆς
reproached the brother to-be-shifted and from-the anger
καὶ καθυφεῖναί τι μικρὸν καθικέτευσεν, ἀπιδόντα πρὸς
and to-relax a little implored having-looked to
τὸ μεγαλεῖον τοῦ γένους τῆς Εὐδοκίας καὶ ἑαυτὸν δὲ
the greatness of-the family — of-Eudokia and himself too
οἰκτειρήσαντα, γενησόμενον οὕτως ἐπ᾽ ἀσχήμοσιν ἔργοις
having-pitied going-to-become thus for shameful deeds
ἀοίδιμον. οὐκ ἔχων δὲ καὶ πείθειν ὡς τὴν γνώμην ἀκαμπῆ
famous not being-able but even to-persuade as the will unbending
καὶ δυσμείλικτον, αὐτὸς τὴν Εὐδοκίαν προσηκούσης κομιδῆς
and implacable himself — Eudokia of-fitting care
ἀξιώσας παραδίδωσι τοῖς ἀπάξουσι δεόντως εἰς
having-deemed-worthy hands-over to-those going-to-lead-away fittingly to
τὸ Δυρράχιον. μαθὼν δὲ τὸ γεγονὸς ὁ πατήρ, πέμψας
— Dyrrachion having-learned and the happening the father having-sent
ἀμφικέφαλον καθέδραν καὶ κόσμους περιδερραίους ἄλλας
double-headed litter and ornaments necklaces other

τε λαμπρειμονίας βασιλικὰς εἰσοικίζεται τὴν θυγατέραν.
and finery imperial takes-home the daughter
πλὴν οὐδὲ τοῦ Νεεμὰν οὗτοι υἱοὶ ἀδελφὰ φρονοῦντες
however not-even — of-Nemanja these sons brotherly thinking
εἰς τέλος διήρκεσαν, ἐκπολεμωθέντες δὲ κατ' ἀλλήλων
to (the)-end persisted having-become-enemies and against each-other
τῷ χορῷ τῶν ἄλλων καὶ οἵδε συνήφθησαν, οὓς μικρῷ
to-the chorus of-the others also these were-joined whom a-little
πρόσθεν εἰρήκειμεν ἠγνοηκέναι τὴν φύσιν διά τε
before we-had-said to-have-ignored the nature because-of both
φιλαρχίαν καὶ τρόπου σκαιότητα· καὶ φανεὶς κρείττων
love-of-rule and of-character clumsiness and appearing stronger
ὁ Βόλκος τῆς ἀρχῆς ἅμα καὶ τῆς πατρίδος ἐκτοπίζει
— Vukan from-the rule at-once and the fatherland banishes
τὸν Στέφανον. ἐκ γὰρ τῆς τῶν πόλεων βασιλίδος ὥσπερ
— Stephen from for the of-the cities queen as-if
τινὸς ὑπογραμμοῦ καὶ τύπου καὶ κοινοῦ θεμιστεύματος
some model and pattern and common decree
τῆς ἀδελφοκτονίας ἐξιούσης καὶ διαδραμούσης τῆς γῆς τὰ
the fratricide going-out and having-run-through of-the earth the
πέρατα, οὐ Πέρσαι μόνον καὶ Ταυροσκύθαι καὶ οἵδε οἱ
ends not Persians only and Tauroscythians and these the
Δαλμάται καὶ μετέπειτα Πάννονες, ἀλλὰ καὶ λοιποὶ ἕτεροι
Dalmatians and afterward Pannonians but also remaining others
παρ' ἔθνεσι δυναστεύοντες στάσεων καὶ φόνων τὰς ἑαυτῶν
among nations ruling of-seditions and murders the their-own
πατρίδας ἐνέπλησαν, καθ' ὁμογενῶν τὰ ξίφη σπασάμενοι.
fatherlands filled against kinsmen the swords having-drawn
Κατὰ δὲ τοὺς χρόνους τούτους ἔξεισι τῆς Μυσίας ὁ
in and the times these goes-out — from-Mysia —
Ἰωάννης μεγίστῳ τε καὶ παγχάλκῳ στρατεύματι, καὶ
John with-greatest both and all-bronze army and

διειληφὼς τὴν Κωνστάντιαν χειροῦται ταύτην κατὰ
having-surrounded — Konstantia subdues it with
πᾶσαν εὐπέτειαν, διάσημον οὖσαν ἐν τοῖς τῆς Ῥοδόπης
all ease famous being in the of-the Rhodope
σχοινίσμασι. καὶ καθελὼν τὸν ταύτης περίβολον ἐκεῖθεν
territories and having-pulled-down the its circuit-wall thence
ἀπανίσταται καὶ περὶ τὴν Βάρναν στρατοπεδεύεται,
departs and around — Varna encamps
καὶ πολιορκεῖ γενναίως καὶ ταύτην κατὰ τὴν ἕκτην
and besieges nobly also it on the sixth
τῶν τοῦ Χριστοῦ παθημάτων ἡμέραν. παντοίαν δ'
of-the — of-Christ sufferings day every and
ἔνστασιν ἐνδεικνυμένων τῶν ἔνδοθι, κρατίστων ὄντων τῶν
resistance displaying of-the inside strongest being of-the
πλείστων κἀκ τοῦ Λατινικοῦ στίφους συγκεκροτημένων,
most and-from the Latin band assembled
τετράπλευρον συντίθησι μηχανὴν συμμηκιζομένην τῷ εὖρει
four-sided he-constructs engine of-equal-length to-the breadth
τῆς τάφρου καὶ ἰσοϋψῆ τῷ τείχει τῆς πόλεως, καὶ
of-the ditch and equal-in-height to-the wall of-the city and
ταύτην ὑπότροχον οὖσαν τῆς τάφρου ἄγχιστα στήσας, εἶτα
it wheeled being to-the ditch nearest having-set then
ἀνατρέψας ἀμφοτέρων τῶν περάτων ἐπιλαμβάνεται, καὶ
having-tipped both of-the ends takes-hold and
τῷ αὐτῷ καὶ ἑνὶ μηχανήματι ζεύγματί τε τῆς τάφρου
with-the same and one engine as-bridge both of-the ditch
χρησάμενος καὶ κλίμακι ἐξικνουμένῃ τοῦ ὕψους τῆς πόλεως
having-used and as-ladder reaching the height of-the city
τρισὶν ἡμέραις τῆς Βάρνας κρατεῖ. οὔτε δὲ τῆς ἡμέρας τὴν
in-three days — of-Varna is-master neither and of-the day the
δύναμιν ὁ βάρβαρος πτοηθεὶς (ἦν δὲ τὸ ὑπερευλογημένον
power the barbarian having-feared was and the most-blessed

σάββατον καθ᾽ ὃ ὕπνωττεν ἐν τάφῳ Χριστὸς) οὔτε
Sabbath on which slept in tomb Christ nor
τὸν Χριστιανὸν αἰδεσθείς, ὃν μόνοις περιέφερε χείλεσιν,
the Christian having-respected whom only bore-about with-lips
ἀλλὰ φιλαιμάτοις δαίμοσιν ἐλαστρούμενος πάντας οὓς
but by-bloodthirsty demons being-driven all whom
συνείληφε ζῶντας κατὰ τῆς τάφρου ὠθεῖ, καὶ χοῦν ἐς
he-had-seized living down the ditch thrusts and earth to
ἰσόπεδον ἐπιχέας πολυάνδριον τὸν τόπον δείκνυσιν. ἔπειτα
level having-heaped mass-grave the place shows then
καὶ τὰ τείχη καταστρεψάμενος εἰς Μυσίαν ἐπάνεισιν,
also the walls having-overthrown to Mysia returns
ἐναγίσμασι τοιούτοις καὶ τελεταῖς μυσαρωτάταις τὴν
with-death-offerings such and rites most-abominable the
μίαν τῶν σαββάτων καὶ τῶν ἡμερῶν κυρίαν τετιμηκώς.
one of-the sabbaths and of-the days lord(-day) having-honored
Καὶ τῇδε μὲν καὶ ταῦτα ἐφέρετο· ὁ δέ γε
and here indeed also these(-things) went the and at-least
πρωτοστράτωρ Μανουὴλ ὁ Καμύτζης, χρόνιος ἐν Μυσίᾳ
protostrator Manuel the Kamytzes long in Mysia
καθειργνύμενος, δεῖται τοῦ ἐξαδέλφου καὶ βασιλέως ἐκ
being-imprisoned asks the cousin and emperor from
τῆς οἰκείας οὐσίας λυθῆναι μηδ᾽ ὡς κακοῦργος ἐπὶ
the own estate to-be-ransomed nor as criminal for
πολὺ παροφθῆναι παρὰ βαρβάροις δορύκτητος. οὐκ
long to-be-overlooked among barbarians spear-won not
εἶχε δὲ καὶ πείθειν δι᾽ ὧν ἐπέστελλεν. ἀπειρηκὼς οὖν
he-could but even to-persuade by what he-wrote having-given-up then
τὸν κηδεστὴν μέτεισι Χρύσον, καὶ παρ᾽ αὐτοῦ δεῖται
the in-law he-approaches Chrysos and by him asks
λυθῆναι, καὶ ὡς εἶχε τὰ ἠτημένα πεπερασμένα,
to-be-ransomed and when he-had the requested(-things) accomplished

ἐκ Μυσίας ἐς Πρόσακον ἄπεισιν. ἀλλ᾽ οὐδ᾽ ἐκεῖσε
from Mysia to Prosakos goes-off but not-even there
γενόμενος καθυφῆκε τοῦ βασιλέως δεόμενος, εἴ πως
having-come he-ceased the emperor asking if somehow
τῷ Χρύσῳ τὰ λύτρα κατάθοιτο, εἰς δύο ποσούμενα
— to-Chrysos the ransom he-might-pay to two amounting
χρυσοῦ κεντηνάρια, πολλαπλασίονα τούτων ἀφαιρεθῆναι
of-gold centenaria many-times than-these to-have-been-taken
φάσκων πλὴν τῶν ἀργυρέων καὶ χρυσέων σκευῶν τῶν
saying except the silver and golden vessels the
Σηρικῶν τε νημάτων καὶ τῶν περιφανῶν ἐσθημάτων,
silken and threads and the splendid garments
οἷς ὑπερεκόμα ῥυηφενέστατος ἀνθρώπων φανείς.
with-which he-overflowed wealthiest of-men having-appeared
ὁ δὲ τὴν σχέσιν τοῦ πρωτοστράτορος ἐν πλάστιγγι μιᾷ
he but the relation of-the protostrator in scale one
τοῦ τῆς φρενὸς ζυγοῦ καταθείς, ἐν δὲ θατέρᾳ τὰ τούτου
of-the of-the mind balance having-put in and the-other the his
χρήματα, καὶ ταλαντεύων ἀμφότερα, πολλῇ τῇ ῥοπῇ
money and weighing both by-much the turn
βαρυτέραν τὴν δευτέραν εὕρισκεν, ὅθεν οὐδ᾽ ἄκροις ὠσὶν
heavier the second found whence not-even with-tips-of ears
εἰσῳκίζετο τὰ ὑπ᾽ ἐκείνου γραφόμενα. ἀπειπὼν οὖν
admitted the(-things) by him written having-given-up then
ὁ Καμύτζης ἔγνω σὺν Χρύσῳ τοῖς ἀγχιτέρμοσιν Προσάκῳ
— Kamytzes resolved with Chrysos the bordering on-Prosakos
Ῥωμαϊκοῖς ἐπιθέσθαι τέρμασιν. εὐμαρῶς οὖν Πελαγονίαν
Roman to-attack borders easily then Pelagonia
χειροῦνται, καὶ ῥᾳδίως ὑπάγονται Πρίλαπον, ἐπιφύονται τὰ
they-subdue and readily bring-under Prilep they-attack the
ἑξῆς, ἀφιστῶσι τὰ πόρρωθεν, διεκπίπτουσι Τεμπῶν τῶν
next(-places) they-detach the far(-ones) they-burst-through of-Tempe the

Θετταλικῶν, τῶν πεδιάδων ἐπιλαμβάνονται, παρακινοῦσι
Thessalian the plains they-seize they-stir-up
τὴν Ἑλλάδα, παλίμβολον τιθέασι τὴν τοῦ Πέλοπος.
— Hellas unstable they-make the(-land) — of-Pelops
τότε δὲ καὶ δεύτερος ἀποστάτης κατὰ τοὺς σπαρτοὺς
then and also second rebel like the sown
ἐπανέτειλε γίγαντας. Ἰωάννης γάρ τις τὸ γένος Κύπριος,
arose giants John for a the race Cypriot
Σπυριδωνάκης τοὐπώνυμον, τὸ εἶδος φαῦλος, τὴν ἡλικίαν
Spyridonakes by-surname the looks poor the stature
φαυλότερος, στράβων τὰς ὄψεις, χειρῶναξ τὴν τέχνην,
poorer squinting the eyes manual-worker the trade
τὴν τύχην χθόνιος, τῷ βασιλεῖ τῷδε ὑπηρετούμενος,
the fortune lowly the emperor this serving
ταῖς δὲ παραλόγοις προόδοις καὶ ἀναβάσεσι τῶν ἔσω
by-the and unreasonable advancements and promotions of-the inner
λεγομένων ταμιείων φύλαξ ταχθείς, εἶτα τὴν ἀρχὴν
called treasuries keeper having-been-appointed then the command
τῶν Σμολένων χειρίζειν λαχών, καταγινώσκει τοῦ
of-the Smolenoi to-handle having-obtained condemns the(-one)
πεπομφότος εὐτέλειαν νοὸς καὶ ἀφέλειαν, καὶ τῷ
having-sent cheapness of-mind and simplicity and by-the
δυσπροσόδῳ τῆς χώρας ἐπαρθεὶς εἰς ἀπόνοιαν διπλουμένου
inaccessibility of-the land lifted to madness doubled
ἐκείνῳ γίνεται ἀντιστάτημα καὶ Σατὰν καὶ σκώλωψ καὶ
to-him becomes adversary and Satan and thorn and
ἀπρόσκοπον συγκύρημα χείριστον. ὁ δὲ βασιλεὺς καὶ τρίτῳ
unforeseen mishap worst the and emperor also by-third
τότε κακῷ τῇ συνήθει καχεξίᾳ τρυχόμενος, ἥτις ἐπενέμετο
then evil the accustomed ill-health being-worn which was-spreading-over
τὰ ἄρθρα τοῦ σώματος, τὸν Ἐπιμηθέα εἶχε κατ' ἄμφω
the joints of-the body — Epimetheus he-had on both

δεινῶς ἐπικείμενον καὶ εἰς πνῖγμα μικροῦ ἐναλλόμενόν
terribly pressing and to choking by-little leaping-upon
τε καὶ ἐπεμβαίνοντα, ὅτι τὸν ἐξάδελφον οὐκ ἐλύσατο
both and trampling that the cousin not he-ransomed
καὶ ὅτι τὸν οὐτιδανὸν ἐν ἀνθρώποις Σπυριδωνάκην
and that the worthless among men Spyridonakes
εἰς ὄνειδος οἰκεῖον πόλεων τοσούτων ἐρυμνοτάτων
to reproach own of-cities so-many most-strong
κατέστησεν ἄρχοντα. διχῇ οὖν διαιρῶν τὸ συναγόμενον
he-made ruler in-two then dividing the being-gathered
στράτευμα, τὸ μὲν τῷ γαμβρῷ παρεδίδου Ἀλεξίῳ
army the(-one) indeed to-the son-in-law he-handed Alexios
τῷ Παλαιολόγῳ τὸν ἀνθρωπίσκον μετιόντι Σπυριδωνάκην,
the Palaiologos the manikin pursuing Spyridonakes
τὸ δ' ἐξέπεμψεν εἰς τὸν Οἰνουπολίτην Ἰωάννην τῷ
the(-other) and he-sent to the Oinoupolites John to-the
πρωτοστράτορι ἀντικαθιστάμενον. ὁ μὲν οὖν τοῦ βασιλέως
protostrator being-set-against the indeed then of-the emperor
γαμβρὸς Ἀλέξιος ἀρετὴν καὶ τόλμαν ἐνδειξάμενος ἔμφρονα
son-in-law Alexios valor and daring having-displayed sensible
τὸν Σπυριδωνάκην καταγωνίζεται σὺν πόνῳ βραχεῖ, καὶ
— Spyridonakes defeats with toil brief and
φυγάδα τίθησι τὸ Πυγμαϊκὸν ἀνδράριον ἐς Μυσίαν· ἡ δὲ
fugitive makes the Pygmy manikin to Mysia the but
τοῦ πρωτοστράτορος ἀντιστασία ἐφ' ἱκανὸν μὲν διήρκεσε
of-the protostrator resistance for sufficient indeed lasted
χρόνον, αἴσιον δὲ καὶ αὕτη πέρας ἐδέξατο. ὁ γὰρ βασιλεὺς
time auspicious but also this end received the for emperor
ἄλλαις τε μεθόδοις ἐχρήσατο μεθ' ὑπουλίας μετιὼν τὸν
other both methods used with deceit pursuing —
Χρύσον, καὶ δὴ καὶ τὴν θυγατρόπαιδα Θεοδώραν,
Chrysos and indeed also the granddaughter Theodora

ἣν τῷ Ἰβαγκῷ κατηγγύησεν, ἐμνήστευσεν αὐτῷ εἰς
whom — to-Ivanko he-had-betrothed he-engaged to-him for
εὐνέτιν, ἐκ Βυζαντίου μεταπεμψάμενος. καὶ τούτοις τοῖς
wife from Byzantium having-sent-for and by-these the
μεθοδεύμασιν ἀνασώζεται Πελαγονίαν καὶ Πρίλαπον, καὶ
stratagems he-recovers Pelagonia and Prilep and
Θετταλίας ἀπανίστησι τὸν Καμύτζην, πῇ μὲν πολέμῳ
from-Thessaly drives-out — Kamytzes partly indeed by-war
κατατροπούμενον, πῇ δὲ φυγῆς ἐθελοντὶ ἁπτόμενον.
being-routed partly and of-flight willingly taking-hold
ὕστατα δὲ καὶ αὐτοῦ τοῦ Στανοῦ μετανάστην δείκνυσιν, εἰς
last and also itself — of-Stanos exile shows into
ὃν ὡς εἰς ἀνάλωτον ἀπέδρα κρησφύγετον. καὶ τοιούτοις
which as into impregnable he-had-fled refuge and with-such
ἔργοις ἑαυτὸν περιανθίσας, ἐπὶ μακρὸν ὀφθέντα οἰκουρὸν
deeds himself having-garlanded for long having-appeared stay-at-home
καὶ ἀπόλεμον, εἰς Βυζάντιον ἐπανέδραμε. τότε δὲ καὶ τῆς
and unwarlike to Byzantium ran-back then and also —
Στρουμμίτζης ἐκράτησεν, ἀπάτῃ κἀνταῦθα τὸν Χρύσον
of-Strumitza became-master by-deceit here-too — Chrysos
περιελθών, καὶ τὰς πρὸς Ἰωάννην σπονδὰς ἐξεπέρανεν.
having-outwitted and the with John treaty concluded

Choniates turns to the City's calamities under its earthly angels and promises to tell them briefly. The deposed Isaac, left to live freely by the Bosporus, plots with Latins and writes to his daughter Irene, wife of Philip of Germany; his son Alexios escapes on a Pisan ship, his hair cut in the Latin fashion, and Irene asks Philip to help. The avaricious brothers fleece the Latins, break the Venetians' treaties, and set the Pisans on them.

Ἀλλὰ μέχρι μὲν δὴ τούτων εὔδρομος ἡμῖν ὁ λόγος καὶ
but as-far-as indeed truly these(-things) well-running for-us the account and
διὰ λείας φέρων ὁδοῦ, τὸ δ' ἐντεῦθεν οὐκ οἶδ' ὅπως
through smooth going road the(-part) but from-here not I-know how
τῷ λόγῳ χρήσομαι. τίνα γὰρ γνώμην ἔχειν εἰκὸς τὸν
the account I-shall-use what for mind to-have (is)-likely the(-one)
τὰς κοινὰς διεξιέναι μέλλοντα συμφοράς, ὧν ἡ τῶν
the common to-relate about calamities which the of-the
πόλεων αὕτη πεπείραται βασιλὶς τῶν γηΐνων ἀγγέλων
cities this has-experienced queen the earthly angels
βασιλευόντων; ἐβουλόμην μὲν οἷός τε εἶναι διεξελθεῖν
reigning I-would-wish indeed able — to-be to-relate
ἀξίως τῷ λόγῳ τὰ πάντων τῶν κακῶν ἀχθεινότατά τε
worthily in-the account the of-all the evils most-grievous both
καὶ χαλεπώτατα· ἐπεὶ δὲ τοῦτο ἀδύνατον, ἐν ἐπιτόμῳ
and harshest since but this (is)-impossible in brief
δὴ καὶ ποιήσομαι τὴν διήγησιν, κερδαλεωτέραν ἐσομένην
indeed also I-shall-make the narration more-profitable going-to-be
δήπου τοῖς ὀψιγόνοις διὰ τὴν τῶν ἀλγεινῶν ἀκουσμάτων
surely to-the late-born because-of the of-the painful hearings
μετρίασιν καὶ τὴν ἐντεῦθεν τῆς πλείονος λύπης ὑφαίρεσιν.
moderation and the thence of-the greater grief removal

Εἶχε μὲν οὖν ὁ βασιλεὺς Ἀλέξιος τὸν ἀδελφὸν Ἰσαάκιον
held indeed then the emperor Alexios the brother Isaac
καθῃρηκὼς τῆς ἀρχῆς· δέον δὲ μὴ πάντῃ ἀμελῆσαι
having-deposed from-the rule it-being-needful and not wholly to-neglect
τῆς φυλακῆς αὐτοῦ, ὁ δὲ λαθόμενος ὡς ἐγκαίονται
the guard of-him he but having-forgotten how are-branded-in
τοῖς πλείστοις αἱ συμφοραὶ καὶ εἰσὶν ἀναπόνιπτοι, οὔτε
on-the most the calamities and are unwashable nor
μὴν ἡ δίκη δι᾽ ὅλου τίς ἐστιν ἀδιύπνιστος καὶ ταῖς
indeed the justice through whole any is unawakened and in-the
χρονίαις φιληδοῦσα μεταβολαῖς, ἀλλ᾽ ἔπεισι καὶ ταχύπους
long-delayed delighting changes but comes-on both swift-footed
καὶ ἀψόφως ἐπιπίπτειν φιλεῖ τοῖς ἔργα ῥέζουσιν ἄδικα,
and noiselessly to-fall-upon is-wont those deeds doing unjust
ἐνδίδωσι τῷ κασιγνήτῳ διάγοντι κατὰ τοὺς κίονας, οἳ
grants to-the brother living at the columns which
περὶ τὸν πορθμὸν ἀκταῖοι καὶ δυάζοντες ἵστανται, βίοτον
about the strait on-the-shore and in-pairs stand life
ἔχειν ἄνετον, καὶ πᾶσιν ἀνεπέγκλητον εἶναι τὴν εἰς αὐτὸν
to-have relaxed and for-all unblamed to-be the to him
διαπλώϊσιν. ἦν οὖν τοῦ βουλομένου παντός, καὶ οἳ
crossing it-was then of-the wishing everyone and who
ἐκ γένους μάλιστα τῶν Λατίνων, εἰς Ἰσαάκιον ἀναπλεῖν·
from race especially of-the Latins to Isaac to-sail-up
οἷς καὶ κρυφίων κοινωνὸς ἐδείκνυτο βουλευμάτων,
to-whom also of-secret partner he-showed-himself plans
ὁπόσα τὴν ἀντιπάθειαν ἐβυσσοδόμευον καὶ τὴν Ἀλεξίου
as-many-as the hostility devised-secretly and the of-Alexios
καθαίρεσιν ἐμεθόδευον, γραμμάτια πρὸς Εἰρήνην πέμπων
deposition schemed letters to Irene sending
τὴν θυγατέρα, κοινωνὸν λέχους Φιλίππῳ τῷ κρατοῦντι τότε
the daughter partner of-bed to-Philip the ruling then

τῶν Ἀλαμανῶν, πρὸς τὴν πατρῴαν ἐκδίκησιν ὑπαλείφοντα,
of-the Germans for the paternal vengeance urging
κἀκεῖθεν διαποτώμενα ἔχων ἀντίγραφα τὸ ποιητέον αὐτῷ
and-thence flying-across having answers the to-be-done to-him
εἰσηγούμενα. εἶτα καὶ τὸν υἱέα τούτου Ἀλέξιον τῆς
proposing then also the son of-him Alexios from-the
εἱρκτῆς ἀνεικὼς ἐλεύθερον ἀφῆκε στρέφεσθαι. ἐν δὲ τῷ
prison having-released free he-let to-move-about in and the
μέλλειν κατὰ τοῦ πρωτοστράτορος ἐξιέναι καταλύσας εἰς
to-be-about against the protostrator to-march having-halted at
Δαμοκράνειαν συνέκδημον καὶ τοῦτον ἐπήγετο. ὁ δὲ κατὰ
Damokraneia fellow-traveler also him he-took-along he and by
γνώμην δήπουθεν τοῦ πατρὸς Πισσαίῳ τινὶ περὶ δρασμοῦ
will surely of-the father with-Pisan a about escape
κοινολογησάμενος, στρογγύλης προεστῶτι μεγίστης νεώς,
having-conferred of-round commanding greatest ship
ἐκαιροφυλάκει θέσθαι ἐν θαλάσσῃ τὸ ὅρμημα καὶ τὸ
watched-for-occasion to-set in sea the impulse and the
ἴχνος ἐν πολλοῖς ὕδασιν. ὡς δ' ἐπέστη καιρὸς πρὸς τὴν
track in many waters when and arrived (the)-time for the
ἄπαρσιν οὐκ ἀνάρσιος, ἡ μὲν ναῦς ἱστίοις πτεροῦται καὶ
departure not unsuited the indeed ship with-sails is-winged and
κατ' οὖρον φέρεται καὶ προσωκείλει τῇ καθ' Ἑλλήσποντον
with wind is-borne and runs-aground at-the by (the)-Hellespont
Αὐλωνίᾳ, τὸ δὲ ταύτης ἐφόλκιον κατᾶραν ἐς τὸν Ἀθύραν
Avlonia the and its boat having-put-in to — Athyras
ἐπὶ τῷ δέξασθαι τὸν Ἀλέξιον, τιθὲν τὴν σκέψιν ἀφώρατον,
for the to-receive — Alexios making the plan undetectable
ἐνεφόρει ψάμαθον φόρτον ἐσομένην τῇ νηΐ κεκενωμένῃ
loaded sand cargo to-be for-the ship emptied
δῆθεν τῶν ἀγωγίμων. ὁ δ' Ἀλέξιος ἐκ Δαμοκρανείας
supposedly of-the wares — and Alexios from Damokraneia

ἐκεῖσε παραγενόμενος τὴν ὁλκάδα εἴσεισι καὶ πρὸς τὴν νῆα
there having-arrived the boat enters and to the ship
μετακομίζεται. γνωσθείσης δὲ τῆς τούτου φυγῆς πέμπονται
is-carried having-become-known and the his flight are-sent
μὲν παρὰ τοῦ βασιλέως οἱ τὸ πλοῖον ἐξερευνήσοντες, οὐ
indeed by the emperor those the ship going-to-search not
μὴν ἴσχυσαν συλλαβεῖν τὸν Ἀλέξιον· οὗτος γὰρ τὴν κόμην
however they-were-able to-seize — Alexios he for the hair
κειράμενος περιτρόχαλα καὶ τὴν αὐτὴν τοῖς Λατίνοις στολὴν
having-cut round and the same to-the Latins dress
ἐνδυσάμενος, ὡς ἐν ὁμίλῳ πολλῷ συναναστρεφόμενος, τοὺς
having-put-on as in crowd great mingling those
διφῶντας ἐλάνθανεν. ἀπαχθεὶς οὖν ἐς Σικελίαν δῆλος
searching escaped having-been-taken then to Sicily known
τῇ ἀδελφῇ γίνεται· ἡ δὲ δορυφορίαν ἱκανὴν ἀποστείλασα
to-the sister becomes she and escort sufficient having-sent
τὸν ἀδελφὸν ἀγκαλίζεται, καὶ δεῖται τοῦ ἀνδρὸς Φιλίππου
the brother embraces and asks the husband Philip
τὰ δυνατὰ τῷ πατρὶ ἐπαμῦναι φάος ἅμα καὶ κράτος
the possible(-things) to-the father to-help light at-once and sovereignty
ὑπὸ τῶν γνησίων ἀφῃρημένῳ, καὶ τῷ ἀδελφῷ ἐπαρήξειν
by the own(-kin) having-been-deprived and the brother to-aid
ἀστέγῳ τε καὶ ἀπόλιδι κατ' ἀστέρας μεταφερομένῳ τοὺς
roofless both and cityless like stars moved-about the
πλάνητας καὶ μηδὲν ἐπαγομένῳ πλὴν τοῦ σώματος.
wandering and nothing bringing except the body
Ἀλλὰ γὰρ πρὸς τούτοις καὶ ἄλλα μοι ἐπιρρεῖ, ἃ
but for besides these also other(-things) to-me flow-in which
μὴ χρεὼν παρόψεσθαι. οἱ Ἀγγελώνυμοι κασίγνητοι καὶ
not needful to-overlook the Angel-named brothers also
ἄλλως μὲν πλημμελῶς διῴκουν τὰ τῆς ἀρχῆς, ὡς ἤδη
otherwise indeed faultily managed the of-the rule as already

λέξαντες ἔχομεν, μάλιστα δὲ φιλοχρηματίαν νοσοῦντες οὔτ'
having-said we-have especially and avarice being-sick nor
ἀπὸ δικαίων πόρων πλουτεῖν ἠνείχοντο οὔτε συνεῖχον τὰ
from just means to-be-rich they-endured nor kept the
συλλεγόμενα, ἀλλ' ἐξέφερον ἀμφοτέραις αὐτὰ καὶ περιττῇ
being-collected but carried-out with-both(-hands) them and on-excessive
μὲν θεραπείᾳ καὶ κόσμῳ πολυτελεῖ σώματος, πλέον δ'
indeed retinue and adornment costly of-body more and
ἀπεπλούτουν πρὸς ἑταιρίδας καὶ συγγενεῖς ἀλυσιτελεῖς
they-squandered on courtesans and kin useless
παντάπασι τῷ κοινῷ. οὐ μόνον τοίνυν τὰς Ῥωμαϊκὰς
altogether to-the common(-good) not only therefore the Roman
πόλεις ἐκαλαμῶντο καὶ ἀπεφύλλιζον, εὑρεταὶ τῶν καινῶν
cities they-gleaned and stripped-of-leaves inventors of-the new
εἰσφορῶν καθιστάμενοι, ἀλλὰ καὶ τοὺς ἐκ φυλῶν
levies becoming but also those from tribes
Λατινίδων ἐν οἷς εἶχον εἰσέπραττον. πολλάκις οὖν τὰς
Latin in what they-could exacted often then the
πρὸς Βενετίκοις ξυνθήκας παραβλεψάμενοι αὐτούς τε ἐς
with Venetians treaties having-disregarded them both in
χρήματα ἐζημίωσαν καὶ τὰ πλοῖα τούτων ἠργυρολόγουν,
money fined and the ships of-them taxed
καὶ τοὺς ἐκ τῆς Πίσσης αὐτοῖς ἐπανέστησαν. ἀμέλει
and those from — Pisa against-them raised-up indeed
καὶ ἦν ὁρᾶν ὁτὲ μὲν τῆς πόλεως ἔνδοθεν, ὁτὲ
and it-was-possible to-see at-times indeed of-the city within at-times
δὲ κατὰ μέσην τὴν θάλατταν, διὰ μάχης ἀμφότερα τὰ
and in middle the sea through battle both the
γένη χωροῦντα, κρατοῦντά τε ἀνὰ μέρος καὶ κρατούμενα,
races advancing winning both by turn and being-beaten
καὶ παλίωξιν ἐντεῦθεν καὶ ἀντισκύλευσιν.
and counter-pursuit thence and counter-plundering

The Venetians, unpaid and slighted, find a leader in their blind old doge Enrico Dandolo, who draws Boniface of Montferrat, Baldwin of Flanders, and other lords into a fleet built over three years. The young Alexios joins it, promising money, ships against the Saracens, and changes to his church's ancient customs. While Alexios III idles and his admiral Michael Stryphnos sells off the fleet's gear, the Latins take Zara, the Epidamnians proclaim the young Alexios emperor, and the fleet anchors off Chalcedon, where the Roman generals flee.

ἀτὰρ οἱ Βενέτικοι παλαιῶν μεμνημένοι πρὸς Ῥωμαίους
but the Venetians old remembering with (the)-Romans
σπονδῶν, καὶ μεταχωροῦσαν πρὸς Πισσαίους τὴν σφετέραν
treaties and passing to (the)-Pisans the their
δεξίωσιν οὔκουν ὁρᾶν ἀνεχόμενοι, δῆλοι ἦσαν Ῥωμαίων
favor not-then to-see enduring evident were from-(the)-Romans
κατὰ βραχὺ ἀφιστάμενοι καὶ μελετῶντες ἐν καιρίοις
by little withdrawing and practicing in (the)-right-moments
τὴν ἀντιλύπησιν, καὶ μάλισθ' ὅτι κιμβικευόμενος ὁ
the retaliation and especially because playing-the-miser —
Ἀλέξιος οὐκ ἀπεδίδου σφίσι χρυσίου μνᾶς διακοσίας
Alexios not paid to-them of-gold minas two-hundred
ἐνδεούσας ἔτι πρὸς τὸ ἅπαν ὀφείλημα τῶν δέκα πρὸς
lacking still toward the whole debt of-the ten besides
τοῖς πέντε κεντηναρίων, ἃ συνέθετο δοῦναι τοῖς
the five centenaria which agreed to-give to-the
Βενετίκοις ὁ βασιλεὺς Μανουήλ, ἡνίκα συνειληφὼς τοὺς
Venetians the emperor Manuel when having-seized the
Βενετίκους δημόσια τὰ τούτων ἔθετο χρήματα. ἦν δὲ
Venetians public the their made money was and
δεινὸν οὐκ ἐλάχιστον καὶ ὁ τηνικαῦτα δοὺξ Βενετίκων
terror not least also the then doge of-(the)-Venetians

Ἐρίκος Δάνδουλος, ἀνὴρ πηρὸς μὲν τὰς ὄψεις καὶ τῷ
Enrico Dandolo man maimed indeed the eyes and in-the
χρόνῳ πέμπελος, ἐπιβουλότατον δὲ πρᾶγμα Ῥωμαίοις
time aged most-treacherous but thing to-(the)-Romans
καὶ φθονερώτατον, ὃς παιπάλημα ὢν ἀγυρτείας καὶ
and most-envious who sly-fox being of-charlatanry and
φρονιμώτερον τῶν φρονίμων ἑαυτὸν ὀνομάζων καὶ
wiser than-the wise himself naming and
δοξομανῶν ὡς οὐχ ἕτερος θανάτου ἐτιμᾶτο τὸ μὴ τίσασθαι
mad-for-glory as not another than-death valued the not to-exact
Ῥωμαίους δίκας τῆς ἐς τὸ γένος αὐτοῦ παροινίας, φρεσὶν
(the)-Romans penalties for-the to the race his drunken-outrage in-mind
ἀναπεμπάζων καὶ λογιστεύων ὁπόσοις κακοῖς οἱ Βενέτικοι
pondering and reckoning how-many evils the Venetians
προσωμίλησαν τῶν Ἀγγελωνύμων ἀδελφῶν ἀνασσόντων,
met-with the Angel-named brothers reigning
καὶ πρὸ τούτων Ἀνδρονίκου, καὶ ἀνόπιν ἔτι τοῦ Μανουὴλ
and before these of-Andronikos and earlier still — Manuel
τὰ τῶν Ῥωμαίων σκῆπτρα διέποντος. εἰδὼς δὲ κατὰ τῆς
the of-the Romans scepters wielding knowing and against the
ἑαυτοῦ κεφαλῆς προχωρήσειν, εἴ τι που Ῥωμαίοις
his-own head to-go-forward if anything somewhere to-(the)-Romans
ἐπίβουλον μετὰ μόνων τῶν ὁμοφύλων ἐργάσεται, καὶ
treacherous with only the kinsmen he-will-do also
ἄλλους προσλαβέσθαι συλλήπτορας σκέπτεται, καὶ τούτοις
others to-take-on helpers considers and with-these
κοινωνῆσαι τῶν ἀπορρήτων οὓς ᾔδει πρὸς Ῥωμαίους
to-share the secrets whom he-knew toward (the)-Romans
ἄσπονδον μῖσος τρέφοντας καὶ τοῖς τούτων καλοῖς
implacable hatred nursing and at-the their goods
βάσκανον καὶ λίχνον ἐνατενίζοντας. τοῦ δὲ καιροῦ
envious and greedy gazing the and occasion

χορηγήσαντος αὐτομάτως τοπάρχας τινὰς εὐγενεῖς, οἵτινες
having-supplied of-itself lords some noble who
πρὸς Παλαιστίνην ὥρμων τραπέσθαι, κατὰ κοινοπραγίαν
to Palestine were-eager to-turn by partnership
τούτοις συγγίνεται καὶ συνωμότας ἐπισπᾶται τοῦ κατὰ
with-these associates and conspirators draws of-the against
Ῥωμαίων κινήματος. ἦσαν δὲ οὗτοι ὁ Μόντης Φεράντης
(the)-Romans movement were and these the Monte Ferrato
μαρκέσιος Βονιφάτιος, ὁ κόμης Φλάντρας Βαλδουΐνος,
marquis Boniface the count of-Flanders Baldwin
ὁ κόμης τοῦ ἁγίου Παύλου Ἐρίκος καὶ ὁ κόμης Πλέης
the count — of-Saint Paul Henry and the count of-Blois
Δολόϊκος καὶ συχνοὶ ἕτεροι τολμητίαι πολεμισταὶ καὶ
Louis and many other daring warriors and
συμμηκιζομένην οἷον τῷ δολιχῷ τῶν δοράτων τὴν
equaling as-it-were to-the length of-the spears the
ἡλικίαν προφαίνοντες. ναυπηγηθέντων οὖν εἰς Βενετίαν
stature displaying having-been-built then at Venice
δι᾽ ὅλων τριῶν λυκαβάντων δρομώνων μὲν ἱππαγωγῶν
through whole three years dromons indeed horse-transporting
ἑκατὸν δέκα, νηῶν δὲ μακρῶν ἑξήκοντα, ἔτι δὲ
hundred ten ships and long sixty still and
πλοίων συναθροισθέντων στρογγύλων μεγίστων ὑπὲρ τὰ
vessels having-been-gathered round greatest over the
ἑβδομήκοντα, ὧν ἓν Κόσμος παρ᾽ αὐτοῖς ὠνομάζετο
seventy of-which one World among them was-named
ὡς πολὺ τῶν ἄλλων ὑπερφέρον ἐς μέγεθος, εἴσεισιν ἐκ
as much than-the others surpassing in size enters by
παραγγελίας αὐτὰ ἵππος μὲν χιλία σιδήρῳ κατάφρακτος,
command them cavalry indeed thousand with-iron armored
ἀσπὶς δὲ τρισμυρία εἰς ὁπλίτας πλείστους διῃρημένη,
shield and thirty-thousand into hoplites very-many divided

μάλιστα δὲ εἰς τοὺς καλουμένους τζαγροτοξότας. ὡς
especially and into the called crossbowmen when
δ' ἦν ὁ στόλος πρὸς ἀναγωγὴν ἕτοιμος, κακὸν ἐπὶ
and was the fleet for setting-sail ready evil upon
κακῷ προσβάλλει καὶ κῦμα, ὅ φασιν, ἐπὶ κύματι
evil strikes and wave as they-say upon wave
Ῥωμαίοις ἐπικυλίνδεται· Ἀλέξιος γὰρ ὁ παῖς Ἰσαακίου
on-(the)-Romans rolls Alexios for the son of-Isaac
τοῦ Ἀγγέλου γράμμασιν ἐφοδιασθεὶς τοῦ πάπα Ῥώμης
the Angelos with-letters having-been-supplied of-the pope of-Rome
τῆς πρεσβυτέρας καὶ τοῦ ῥηγὸς Ἀλαμανίας Φιλίππου,
the elder and of-the king of-Alamania Philip
χάριτας μεγίστας ὁμολογούντων τοῖς πειρατικοῖς τούτοις
favors greatest promising to-the piratical these
ἐργαστηρίοις εἰ τὸν Ἀλέξιον εἰσδέξονται καὶ πρὸς τὴν
workshops if — Alexios they-will-receive and to the
πατρῴαν ἐπαναγάγωσι βασιλείαν, τρισάσμενος μετὰ καιρὸν
paternal they-bring-back empire thrice-gladly after time
τῷ στόλῳ ἐφίσταται, καὶ προσβλέπεται ὡς οὐ μόνον τὸν
to-the fleet arrives and is-looked-to as not only the
κατὰ Ῥωμαίων λῃστρικὸν ἔκπλουν μετασχηματίσων πρὸς
against (the)-Romans piratical voyage going-to-transform into
τὸ εὐάφορμον καὶ διαμορφάσων πρὸς τὸ εὐπρόσωπον,
the well-grounded and going-to-reshape into the specious
ἀλλὰ καὶ χρημάτων ἀποθεραπεύσων σωρείαις τὸ κερδαλέον
but also of-money going-to-satisfy with-heaps the greedy
ἐκείνων καὶ φιλοχρήματον φρόνημα. τὸν τοίνυν Ἀλέξιον οὐ
their and money-loving spirit — therefore Alexios not
μᾶλλον τὴν ἡλικίαν ἢ τὰς φρένας νεάζοντα πανοῦργοι
more the age than the wits being-young knaves
πάντες καὶ πράγμασιν ἐντακέντες ἄνδρες παραλαβόντες
all and in-affairs steeped men having-taken-in

ἐκείνοις ἐν ὅρκοις συνθέσθαι παρέπεισαν ἃ μηδαμῶς
with-them in oaths to-agree persuaded what in-no-way
ἐπεφύκει πέρας λαβεῖν. οὐ γὰρ μόνον θαλάσσας χρημάτων
was-of-a-nature end to-take not for only seas of-money
αἰτησαμένοις κατένευσε τὸ μειράκιον, ἀλλὰ καὶ σύναρσιν
to-those-asking assented the lad but also help
κατὰ Σαρρακηνῶν μεθ' ὁπλομάχων Ῥωμαίων καὶ τρικρότων
against (the)-Saracens with fighting (the)-Romans and three-banked
νηῶν πεντήκοντα. τὸ δὲ δὴ μεῖζον καὶ ἀτοπώτατον,
ships fifty the and indeed greater and most-outrageous
παρεκτροπὴν πίστεως, ὁποία τοῖς Λατίνοις ἀσπάζεται, καὶ
perversion of-faith such-as by-the Latins is-embraced and
τῶν τοῦ πάπα προνομίων καινισμόν, μετάθεσίν τε καὶ
of-the of-the pope prerogatives innovation change both and
μεταποίησιν τῶν παλαιῶν Ῥωμαίοις ἐθῶν συγκατέθετο.
transformation of-the old to-(the)-Romans customs he-assented
Καὶ δὴ ὁ μὲν στόλος τὰ πρυμνήσια λύσας κατάγεται
and indeed the indeed fleet the stern-cables having-loosed puts-in
πρὸς Ἰάδαρα, καὶ ἦν αὐτὰ πολιορκῶν, δόξαν οὕτω τῷ
at Zara and was it besieging it-seeming-good thus to-the
τῆς Βενετίας Δανδούλῳ δουκί, ὡς δῆθεν παλαιὰς συνθήκας
— of-Venice Dandolo doge as supposedly old agreements
πρὸς τοὺς ἐκ γένους ἐκείνῳ παραβλεψάμενα· ὁ δέ γε
with those of race to-him having-disregarded the and at-least
κρατῶν Ῥωμαίων Ἀλέξιος ἐκ πολλοῦ τὴν τῶν Λατίνων
ruling of-(the)-Romans Alexios from long the of-the Latins
ἐνωτιζόμενος κίνησιν πρὸς οὐδέν τι ἄμεινον ἑαυτῷ τε καὶ
hearing-of movement toward nothing — better for-himself both and
Ῥωμαίοις διέκειτο· τὸ γὰρ περιττὸν ἐς μαλακίαν ἴσην
for-(the)-Romans was-disposed the for excess in softness equal
ἔχει πως καὶ τὴν βλακείαν πρὸς τὰ κοινωφελῆ καὶ τὰ
has somehow also the sloth toward the common-good(-things) and the

δέοντα. οἱ δὲ τῶν περιφύτων δρῶν φύλακες ἐκτομίαι,
needful(-things) the and of-the thickly-planted oaks keepers eunuchs
ἃ τοῖς βασιλεῦσιν ἀνεῖται πρὸς κυνηγέσια, καθάπερ
which for-the emperors are-dedicated for hunts as-if
ἱερῶν ἄλσεων, εἰπεῖν δὲ καὶ θεοφυτεύτων παραδείσων,
of-sacred groves to-say and also God-planted paradises
ἐφείδοντο τουτωνί, καὶ διηπειλοῦντο τὸν ἔσχατον κίνδυνον
spared these and threatened the extreme danger
τοῖς ἐκτεμεῖν προθεμένοις ἐκεῖθεν ξύλα ἄττα ναυπηγήσιμα.
to-those to-cut intending thence timbers some ship-building
ναὶ μὴν καὶ ὁ τοῦ στόλου δοὺξ Μιχαὴλ ὁ Στρυφνός,
yes indeed also the of-the fleet duke Michael the Stryphnos
κασιγνήτῃ τῆς δεσποίνης συνεζευγμένος, δεινότατος ὢν μὴ
to-sister of-the empress married most-clever being not
μόνον γόμφους καὶ ἀγκύρας χρυσίου ἀλλάξασθαι ἀλλὰ καὶ
only bolts and anchors for-gold to-exchange but also
λαίφεσιν ἐπιθέσθαι καὶ ἐξαργυρίσαι πρότονα, ἀπαξάπαντος
on-sails to-lay-hands and to-sell forestays of-every-single
πλοίου μακροῦ τὰ νεώρια Ῥωμαίων ἐκένωσε. καὶ βασιλεὺς
ship long the dockyards of-(the)-Romans emptied and (the)-emperor
οἷς οὐκ ἐπετίμα τοῖς ἀβελτέροις τὰ τῶν κακῶν κάκιστα
in-that not rebuked the fools the of-the evils worst
δρῶσιν, ἐπευδοκῶν τοῖς γινομένοις ἡλίσκετο. μᾶλλον
doing approving the happening(-things) was-caught rather
μὲν οὖν καὶ αὐτὸς οἰκουρίᾳ χαίρων νῦν μὲν γεώλοφα
indeed then also himself in-staying-home delighting now indeed hillocks
καθῄρει καὶ ἀνεπλήρου φάραγγας, ἁλωὰς αὐτουργῶν,
leveled and filled-up ravines threshing-floors working-himself
νῦν δὲ εἰς ἐπιδείπνιον εἶχε γέλωτα τὴν τοῦ Λατινικοῦ
now and for after-dinner had laughter the of-the Latin
στόλου ἀπόπλοιαν, καὶ ὡς εἰς μῦθον ἀπέλυε τὰ τοῖς ὠσὶν
fleet sailing and as into fable dismissed the in-the ears

ἔναυλα δεινὰ καὶ πρὸ ὀμμάτων πολλοῖς κείμενα. ἐπεὶ δὲ
ringing dangers and before eyes for-many lying when and
παρεστήσαντο μὲν οἱ Λατῖνοι τὰ Ἰάδαρα, τῇ δ' Ἐπιδάμνῳ
brought-over indeed the Latins — Zara — and at-Epidamnos
προσώκειλαν, καὶ βασιλεὺς Ῥωμαίων ὁ συνὼν ἐκείνοις
put-in and emperor of-(the)-Romans the being-with them
Ἀλέξιος παρὰ τῶν Ἐπιδαμνιτῶν ἀνηγόρευτο, καὶ τὴν περὶ
Alexios by the Epidamnians had-been-proclaimed and the about
τούτων φήμην ἀναμφήριστον εἶχεν ὁ βασιλεύς, γίνεται
these report undisputed had the emperor becomes
παροιμιώδης ἀσπαλιεύς, ὃς πληγεὶς κομίζεται νοῦν.
proverbial fisherman who having-been-stung gets sense
ἤρξατο τοίνυν ἐπισκευάζειν τὰ τῶν σκαφιδίων ὑπόσαθρά
began therefore to-repair the of-the small-boats rotten
τε καὶ θριπηδέστατα μόλις ἐς εἴκοσιν ἀριθμούμενα,
both and most-worm-eaten barely to twenty numbering
περιελθὼν δὲ καὶ τὰ τείχη τῆς πόλεως τὰς ἔξωθεν
having-gone-around and also the walls of-the city the outside
οἰκήσεις κατερείπειν προσέταττεν. ὁ δὲ στόλος ἅρας
dwellings to-demolish he-ordered the and fleet having-sailed
ἐξ Ἐπιδάμνου τῇ τῶν Κερκυραίων παρενέβαλε, καὶ περὶ
from Epidamnos at-the of-the Corcyraeans anchored and about
τὰς εἴκοσιν ἡμέρας σχάσας ἐκεῖθεν τὸν πλοῦν, ὡς ἔγνω
the twenty days having-checked thence the voyage when it-knew
τὴν ἄκραν δυσεπιχείρητον, εὐθὺ τῆς Κωνσταντίνου
the citadel hard-to-attack straight-for the(-city) of-Constantine
τὰ λαίφη διαπετάννυσιν· ᾔδεσαν γὰρ ἐκ μακροῦ τὴν
the sails spreads they-knew for from long the
τῶν Ῥωμαίων οἱ ἀφ' ἑσπέρας ἀρχὴν ἐς μηδὲν ἕτερον
of-the Romans the from (the)-west empire into nothing other
περιστᾶσαν ἢ κραιπάλην καὶ μέθην καὶ τὴν Βυζαντίδα
having-come-round than hangover and drunkenness and the Byzantine

Σύβαριν ἀτεχνῶς τὴν ὑμνουμένην ἐπὶ τρυφῇ. ὅθεν εὐπλοίας
Sybaris simply the celebrated for luxury whence of-fair-voyage
παραδόξου τυχόντες (αὗραι γὰρ διὰ παντὸς ποντιάδες
unexpected having-met breezes for through all sea
πραεῖαί τε καὶ πλησίστιοι ταῖς ναυσὶν ἐκείνων ἐπέπνεον)
gentle both and sail-filling on-the ships their breathed
τῇ πόλει ἐφίστανται μηδενὸς εἰδότος σχεδόν. κατάραντες
at-the city they-arrive no-one knowing almost having-put-in
οὖν ἐς Χαλκηδόνα πρὸς τὴν ἀντίπορθμον ἔκτοτε τῇ ἕῳ
then at Chalcedon toward the across-the-strait thence to-the east
Περαίαν τὴν κάτωθεν μικρόν τι τοῦ διπλοῦ κίονος, κώπαις
Peraia the below little a of-the double column with-oars
μὲν αἱ νῆες, τὰ δὲ πλοῖα λαίφεσιν ἀφικνοῦνται μετὰ
indeed the galleys the and ships with-sails arrive after
μικρόν, καὶ σαλεύουσιν ἐπ᾽ ἀγκυρῶν ἄποθεν τῆς χέρσου ἐς
little and ride on anchors away-from the land to
ὅσον μὴ εἶναι βέλους ἐντός. οἱ δέ γε δρόμωνες τῷ
as-much-as not to-be of-missile within the and at-least dromons —
Σκουταρίῳ προσίσχουσιν. ἠκροβολίζοντο μὲν οὖν Ῥωμαῖοι
at-Skoutarion put-in skirmished indeed then (the)-Romans
κατὰ τῶν πλοίων ἐκ τῶν ἐκεῖσε λόφων προφαινόμενοι
against the ships from the there hills appearing
καὶ ταῖς ἀκταῖς ἐφιστάμενοι· ἀλλ᾽ ἦν οὐδαμῶς ἀνύσιμα τὰ
and on-the shores standing but were in-no-way effective the
πεμπόμενα, τὰ δὲ πλείω μηδ᾽ ἐξικνούμενα τοῦ μήκους
being-sent(-missiles) the and most not-even reaching the distance
κατὰ θαλάσσης ἐβάλλοντο. καὶ φάλαγξ ἑτέρα τις ἄνωθεν
into sea were-thrown and phalanx other a above
περὶ τὸν Δαματρύα ἠγραύλει, τὰς τῶν ἱππέων ἐκδρομὰς
about — Damatrys was-camping the of-the horsemen sallies
ἐπισχήσουσα. πλὴν καὶ αὕτη πρὸς οὐδέν τι χρήσιμος
going-to-check however also this for nothing — useful

ἐγεγόνει· οὐ γὰρ μόνον τοῖς πολεμίοις οὐδ᾽ ἐπὶ βραχὺ
had-been not for only to-the enemy not-even for short
προσεπέλασεν, ἀλλὰ καὶ στρέψασα τὰ μετάφρενα τοῖς
approached but also having-turned the backs to-those
ἐπιδιώκειν ἐθέλουσιν, οἱ μὲν ἔπιπτον, οἱ δ᾽ ἔμελλον,
to-pursue wishing some indeed fell others and were-about
οἱ δ᾽ ἀνὰ κράτος ἐδραπέτευον, καὶ μάλιστα οἱ στρατηγοὶ
others and at full-speed ran-away and especially the generals
ὡς κραδέλαφοι πλέον δείλανδροι. πῶς δ᾽ ἂν καὶ συμβαλεῖν
as fawn-hearted more cowardly how and — even to-engage
ἀνδράσιν ὑπήνεγκαν, οὓς ψυχάρπαγες ἀγγέλους καὶ
with-men would-they-have-endured whom soul-snatching angels and
χαλκηλάτους ἀνδριάντας οὐκ ὤκνουν ἀποκαλεῖν, καὶ πρὸς
bronze-wrought statues not hesitated to-call and at
τὴν αὐτῶν θέαν τῷ δέει ἐξέθνησκον;
the their sight from-the fear swooned

X · THE FLIGHT OF ALEXIOS III

The Latins take the fort that holds the harbor chain, break the chain, and camp by Kosmidion facing Blachernai. On 17 July they attack by land and from ladders on their ships; the Pisans and the axe-bearers drive back the ram, but the men on the ships take the walls by Petria and fire the city from Blachernai to the Deuteron. Alexios leads out a great army, returns without fighting, and that night flees to Develtos with his daughter Irene and ten centenaria of gold. Choniates sums up his reign and character.

Ἀλλ᾽ οὔπω συχνοὶ παρήλθοσαν ἥλιοι, καὶ γνόντες οἱ
but not-yet many had-passed suns and having-learned the
Λατῖνοι ὡς οὐδεὶς ὁ κατὰ χέρσον σφίσιν αὐτοῖς
Latins that no-one the(-one) on land them themselves

ἀντιστησόμενος, ταῖς ἀκταῖς προσπελάζουσι. κἀντεῦθεν
going-to-resist the shores approach and-thence
ἡ μὲν ἱππικὴ στρατιὰ ἴετο βραχύ τι τῆς θαλάσσης
the indeed cavalry army moved short a from-the sea
ἀπέχουσα, αἱ δὲ νῆές τε καὶ οἱ δρόμωνες καὶ ἐπὶ τούτοις
distant the and galleys both and the dromons and besides these
τὰ πλοῖα πρὸς τὸν ἐσέχοντα κόλπον μετέβαινον. ὡς δ'
the ships to the inward-running gulf moved when and
οἱ μὲν ἐπίγειοι οἱ δ' ἐνάλιοι· τῷ φρουρίῳ ἐπέστησαν
some indeed by-land others and by-sea at-the fort arrived
ἐν ᾧ εἴθισται Ῥωμαίοις σιδηρᾶν βαρυτάλαντον ἀποδέειν
in which is-customary for-(the)-Romans iron heavy to-fasten
ἅλυσιν, ἡνίκα πλοίων πολεμίων ἐνσταίη τις ἔφοδος,
chain when of-ships enemy should-threaten an attack
εὐθὺς προσβάλλουσι τῷ ἐρύματι· καὶ ἦν ἰδεῖν οὓς
at-once they-assault the stronghold and it-was-possible to-see some
μὲν τῶν φυλάκων Ῥωμαίων μετ' ἀντιμάχησιν βραχεῖαν
indeed of-the guards (the)-Romans after resistance brief
φυγάδας ὁρωμένους ἐκεῖθεν, οὓς δὲ ἀναιρουμένους καὶ
fugitives being-seen thence others and being-killed and
ζωγρουμένους, ἐνίους δὲ καὶ ὡς διά τινος ἱμονιᾶς
being-captured some and also as through a well-rope
τῆς ἁλύσεως κατιόντας τε καὶ εἰσιόντας τὰς ἐκεῖσε
the chain going-down both and entering the there
ἡμετέρας τριήρεις, πολλοὺς δὲ καὶ κυμβάχους κατὰ βυθοῦ
our triremes many and also headlong to (the)-deep
φερομένους ἐν τῷ τῆς ἁλύσεως διαμαρτεῖν. εἶτα καὶ αὐτῆς
being-borne in the of-the chain to-miss then also itself
διαρραγείσης εἴσω ξύμπας ὁ πολέμιος στόλος εἰσρύεται.
having-been-broken inside whole the enemy fleet streams-in
τῶν δ' ἡμεδαπῶν τριηρέων αἱ μὲν αὐτίκα χειροῦνται, αἱ
of-the and our triremes some indeed at-once are-taken others

δὲ τῷ τῆς πόλεως αἰγιαλῷ προσεγχρίψασαι τιτρῶνται
and on-the of-the city beach having-run-aground are-holed
μετὰ τὴν τῶν ἐμπλεόντων κένωσιν. καὶ ἦν πολυειδὲς τὸ
after the of-the crews emptying and was manifold the
κακόν, μηδ' ἐπὶ καρδίαν ὅλως τινὸς ἀνιόν. ἐνίστατο
evil not-even to heart at-all of-anyone rising was-beginning
δὲ τότε μὴν Ἰούλιος, τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ
and then month July of-the six-thousandth seven-hundredth
ἑνδεκάτου ἔτους. ἀνοχευσάμενοι δ' ἐκ τούτου μικρὸν οἱ
eleventh year having-paused and after this little the
Λατῖνοι, καὶ ὅσον τὸ ποιητέον σκέψασθαι, οἱ μὲν μετὰ
Latins and as-much-as the to-be-done to-consider some indeed with
τῶν νηῶν, ἡ δ' ἵππος μετὰ τῆς προβεβλημένης πεζῆς
the ships the and cavalry with the thrown-forward infantry
στρατιᾶς τῷ Κοσμιδίῳ ἐφίστανται, μικρὰν ἐφευρηκότες ἐκ
army — at-Kosmidion arrive small having-found from
τῶν Ῥωμαίων ἀντίστασιν περὶ τὴν ἐκεῖ που γέφυραν
the Romans resistance about the there somewhere bridge
καὶ τὸν λεγόμενον Τρυπητὸν λίθον. καὶ τὰ μὲν πλοῖα
and the called Pierced stone and the indeed ships
καὶ αἱ νῆες καὶ οἱ δρόμωνες ἐκεῖ που προσίσχουσιν, ὁ
and the galleys and the dromons there somewhere put-in the
δὲ στρατηγὸς στρατήγιον πήγνυσι διειλημμένον ἐν μέρει
and commander camp pitches enclosed in part
ὀρυκτοῖς χαρακώμασι καὶ ξυλίνοις περισταυρώμασι περὶ
with-dug trenches and wooden palisades about
τὸ γεώλοφον ἀφ' οὗπερ ὁρατὰ μὲν τὰ ἐν Βλαχέρναις
the hillock from which visible indeed the in Blachernai
ἀνάκτορα, ὁπόσα νένευκε πρὸς ἑσπέραν· περὶ δέ γε τὴν
palaces as-many-as face toward (the)-west about and at-least the
τούτου ὑπόβασιν ὑπτιάζει τις αὔλειος, πρὸς μεσημβρίαν
its foot lies-flat a courtyard toward south

μὲν ἐς τὸ τεῖχος λήγουσα ὅπερ ἔρυμα τῶν ἀρχείων
indeed at the wall ending which bulwark of-the palace
ὁ βασιλεὺς ἀνήγειρε Μανουήλ, κατὰ δὲ βορρᾶν ἄνεμον
the emperor raised Manuel toward and north wind
τῇ θαλάσσῃ ἐγγίζουσα. σκηνάς τε οὖν ὀρθὰς ἑώρων
to-the sea approaching tents both then upright saw
οἱ ἐν τοῖς τείχεσι, καὶ μικροῦ διομιλεῖσθαι εἶχον τοῖς
those on the walls and by-little to-converse could with-those
ἐν αὐταῖς, περὶ τὴν Γυρολίμνην στρεφομένοις. καὶ οἱ
in them about — Gyrolimne turning and they
μὲν οὐ χάρακι ἐπίπαν καὶ ὅπλοις, τῷ δὲ περιβόλῳ
indeed not by-palisade wholly and arms by-the but circuit-wall
τῆς πόλεως ἡμῶν διείργοντο· ὁ δὲ βασιλεὺς Ἀλέξιος
of-the city from-us were-separated the but emperor Alexios
πάλαι τεθησαυρικὼς ἐν τῇ ψυχῇ τὴν φυγὴν καὶ ἅπας
long having-stored in the soul the flight and wholly
αὐτῆς γενόμενος ὡπλοφόρησεν οὐδαμοῦ, οὐδ' ἀντιμέτωπος
of-it having-become bore-arms nowhere nor facing
ὤφθη τοῖς ἔξωθεν, ἀλλὰ θεατὴς τῶν δρωμένων
was-seen to-those outside but spectator of-the(-things) being-done
ἐκάθητο, τοὺς ὑπερυψήλους δόμους ἀνιὼν οἳ τῆς ἐξ
sat the very-high halls going-up which of-the from
Ἀλαμανῶν δεσποίνης κικλήσκονται. οἱ δέ γε περὶ τὸν
(the)-Germans empress are-called those and at-least about the
βασιλέα οἰκειακοί τε καὶ συγγενεῖς, ὁσονοῦν ἀγηοχότες
emperor household both and kin whatever having-led
στράτευμα ἱππικὸν καὶ μοῖραν εὐάριθμον πεζικήν, ἐκ
army cavalry and portion easily-counted infantry at
διαλειμμάτων ἐξῄεσαν, μόνον οὐ προθέμενοι δεικνύειν μὴ
intervals went-out all-but — purposing to-show not
ἔρημον ἀνθρώπων τὴν πόλιν εἶναι παντάπασιν. ἐπελάσεις
empty of-men the city to-be altogether charges

τοίνυν ἐξ ἐπιδρομῆς μερικαὶ καὶ διακοντίσεις ἱπποτῶν
therefore from sally partial and javelin-casts of-riders
πρὸς ἱππέας κατ᾽ ἐρεθισμὸν καὶ ζῆλον ἀνδρείας πολλάκις
against horsemen by provocation and rivalry of-courage often
τῆς ἡμέρας συνέβαινον ἑκατέρωθεν· καὶ ἦσαν ἐπὶ τούτοις
of-the day happened on-both-sides and were in these
οὐκ ἀγεννῆ τὰ ἡμέτερα, καὶ μάλιστα ἡνίκα διεστρατήγει
not ignoble the ours and especially when commanded
τὸν πόλεμον ὁ τοῦ βασιλέως γαμβρὸς Θεόδωρος ὁ
the war the of-the emperor son-in-law Theodore the
Λάσκαρις· οὗτος γὰρ ῥαγδαιότερον συμπλεκόμενος εἶναι
Laskaris he for more-violently engaging to-be
καὶ παρὰ Ῥωμαίοις ἀρεϊκοὺς ἄνδρας τοῖς Λατίνοις
also among (the)-Romans warlike men to-the Latins
ἐκ τῶν ἔργων ἐξέφαινεν. ἀλλὰ καὶ πεζῶν ἐκπηδῶσαι
from the deeds showed but also of-foot leaping-out
δυνάμεις ἐς τὴν αὔλειον μάλιστα ἣν εἰρήκειμεν
forces into the courtyard especially which we-had-mentioned
τοῖς ἐναντίοις προσέβαλλον. ἦν δὲ καὶ ἀπὸ τῶν
the opponents attacked were and also by the
πετροβόλων μηχανημάτων ἀχρειούμενα τὰ βασίλεια,
stone-throwing engines being-damaged the palaces
ἐνιαχοῦ δὲ κἀκ τῶν τειχέων τῆς πόλεως βάρη λίθων
in-places and and-from the walls of-the city weights of-stones
ἀποσφενδονούμενα τοὺς ἐναντίους κατέπληττον. ἐνστάσης
slung the opponents terrified having-come
δὲ τῆς ἑπτακαιδεκάτης τοῦ Ἰουλίου μηνὸς χερσαῖοί τε καὶ
and the seventeenth of-the July month land(-troops) both and
ὑδραῖοι ἀνδρικώτερον ἔγνωσαν διαγωνίσασθαι οἱ ἀντίμαχοι,
sea(-troops) more-manfully resolved to-fight-it-out the adversaries
ὡς ἢ τῶν κατὰ σκοπὸν ἐπιτευξόμενοι ἢ τούτων
as either of-the according-to aim going-to-obtain or of-these

διαπεσόντες ἐς συμβάσεις βλέψοντες· ἀμφότερα γὰρ ἡ
failing to agreements going-to-look both for the
φήμη διπταμένη λαμπρῶς ἐκώτιλλεν. οἱ μὲν τοίνυν τὰ
rumor flying-about loudly chattered some indeed therefore the
πλοῖα φέροντες ἔστησαν κατέναντι τῶν Πετρίων, βοείαις
ships bringing set-them opposite — Petria with-ox
δοραῖς φραξάμενοι ταῦτα, ὡς εἶεν πυρὶ ἀδήωτα,
hides having-fenced these(-things) that they-might-be by-fire unharmed
κἀν ταῖς κεραίαις τεκτηνάμενοι κλίμακας τὰς βαθμῖδας
and-on the yards having-built ladders the steps
μηρινθώδεις ἐχούσας, ὑποχαλωμένας διὰ κάλων καὶ αὖθις
of-cord having being-let-down by ropes and again
αἰρομένας εἰς ὕψος προσδεδεμένων τοῖς ἱστοῖς· οἱ δὲ
being-raised to height tied to-the masts others and
τειχεσιπλήτην κριὸν κρατυνάμενοι, καὶ τοὺς τζαγροτοξότας
wall-battering ram having-made-strong and the crossbowmen
πολλαχῇ περιστήσαντες, ὡς ἀφ' ἑνὸς συνθήματος ποιοῦνται
in-many-places having-posted as from one signal make
τὴν σύρρηξιν. καὶ ἦν ἡ μάχη φρικαλέα τις καὶ στονόεσσα
the assault and was the battle terrible some and groaning
πάντοθεν. οἵ τε γὰρ περὶ τὸν κριὸν ὁπλισάμενοι Λατῖνοι
on-all-sides those both for about the ram armed Latins
τὸ τεῖχος ῥήξαντες πάροδον ἔσχον ἔνδοθεν, ὃ παρατείνει
the wall having-broken entrance got inside which extends
πρὸς θάλασσαν περὶ τόπον ὃς Ἀποβάθρα βασιλέως
toward sea about place which Landing of-(the)-Emperor
ὠνόμασται, εἰ καὶ πρὸς τῶν ἐπικούρων Ῥωμαίοις
is-named if even by the allied to-(the)-Romans
Πισσαίων καὶ τῶν πελεκυφόρων βαρβάρων γενναιότερον
Pisans and the axe-bearing barbarians more-nobly
ἀπεκρούσθησαν καὶ τραυματίαι οἱ πλείους ἀνέζευξαν· οἵ
they-were-repulsed and wounded the most withdrew those

τε τοῖς πλοίοις ἐνόντες τοῖς περὶ τὰ Πετρία τείχεσι
both in-the ships being to-the about — Petria walls
προσπελάσαντες καὶ δι᾽ ἀκατίων τὰς ἀγκύρας τῶν πλοίων
having-approached and by boats the anchors of-the ships
ἔραζε ῥίψαντες ἐκ τῶν κλιμάκων, ἔπειτα τοῖς ἐκ τῶν
to-ground having-thrown from the ladders then with-the from the
πύργων Ῥωμαίοις συμπλέκονται, καὶ τρέπονται τούτους
towers (the)-Romans engage and rout them
ῥᾳδίως ὡς ἐξ ὑπερδεξίων μαχόμενοι καὶ οὐ μόνον ἀπὸ
easily as from higher-ground fighting and not only from
ὕψους ἀλλὰ καὶ κατὰ κορυφὴν οἷον ἐφεστῶτες καὶ
height but also over head as-it-were standing and
βάλλοντες· κατὰ πολὺ γὰρ τῶν τῆς πόλεως τειχέων
shooting by much for than-the of-the city walls
ὑπερανεστήκεσαν αἱ ἐν τοῖς πλοίοις κλίμακες, μετέωροι
rose-above the on the ships ladders aloft
διὰ πεισμάτων γινόμεναι. τὸ δ᾽ ἀπὸ τοῦδε λαβόμενοι τῶν
by cables becoming the and from this having-seized the
τειχισμάτων οἱ πολέμιοι πῦρ ἐνιᾶσι ταῖς οἰκίαις, ὁπόσαι
fortifications the enemies fire set to-the houses as-many-as
τοῖς τείχεσιν ἐκκρεμεῖς, διασκεδασθέντες πολλαχῇ. καὶ
on-the walls hanging having-scattered in-many-places and
γίνεται τῆς ἡμέρας ἐκείνης ἐλεεινόν τι θέαμα καὶ ποταμοὺς
becomes of-the day that pitiful a sight and rivers
ἕλκον δακρύων ἀντιρρόπων τῷ πολλῷ τῆς πυρκαϊᾶς·
drawing of-tears equal to-the great(-mass) of-the conflagration
πάντα γὰρ ὅσα ἐκ τοῦ τῶν Βλαχερνῶν βουνοῦ
all for as-much-as from the — of-Blachernai hill
πρὸς τὴν μονὴν διήκει τοῦ Εὐεργέτου κατηθάλωτο, καὶ
to the monastery extends of-the Benefactor had-been-burned and
ὑπερεμηκίσθη τὸ καλούμενον Δεύτερον ἡ τοῦ πυρὸς ἐρωή.
reached-beyond the called Deuteron the of-the fire rush

ἰδὼν δ᾽ ὁ βασιλεὺς τὸ οἰκτρὸν τοῦτο τῆς βασιλίδος
having-seen and the emperor the pitiful this of-the queen(-city)
δυστύχημα, καὶ τὴν συνοχὴν τῶν ἀνθρώπων εὐλαβηθείς,
misfortune and the distress of-the people having-feared
ὁπλίτης γίνεται μόλις, καὶ μάλισθ᾽ ὅτι πρὸς ὀργὴν
soldier becomes barely and especially because to anger
τοὺς πλείους ἐπιφρίσσοντας ἑώρα καὶ λόγους ἐπαχθεῖς
the most bristling he-saw and words offensive
κατ᾽ αὐτοῦ καὶ προπηλακισμοὺς ἀφιέντας, οἷς οἰκουρεῖν
against him and abuses letting-fly because to-stay-home
ἑλομένου ἐπὶ μᾶλλον τὰ τῶν ἐναντίων φρονήματα ἤρετο,
having-chosen on more the of-the opponents spirits were-raised
μηδεμιᾶς ἀρωγῆς ὑπονοθευομένῃ τῇ πόλει προσγινομένης,
no aid being-undermined to-the city coming
ἀλλ᾽ ἀφεὶς τὸν πόλεμον τοῖς τείχεσι προσελθεῖν, πρᾶγμα
but having-let the war to-the walls to-come thing
μὴ ἐσδεῦρο πραχθέν, ὡς εἴπερ οὐδένες τῶν ἐνόντων
not hitherto done as if-indeed none of-the within
ἠπίσταντο πολεμεῖν, μηδὲ βέλτιον ἤδεσαν τὸ φθάσαι
knew to-fight nor better knew the to-anticipate
τὸν ἀντίπαλον μᾶλλον ἢ παρ᾽ αὐτοῦ προληφθῆναι, ὅσα
the adversary rather than by him to-be-anticipated just-as
καὶ σῶμα δεινῷ καχεκτήματι τὴν ἴασιν ὑπερπαίοντι.
also body by-terrible disease the cure surpassing
ἐξιὼν τοίνυν τῶν ἀρχείων ἱππότας πλείστους πρὸς
going-out therefore from-the palace riders very-many to
ἑαυτὸν ἐπεσπάσατο, καὶ πεζή τις φάλαγξ οὐκ ἀγεννὴς
himself drew and foot a phalanx not ignoble
συνδεδράμηκεν ἐκ τῆς ἀκμῆς τῆς πόλεως, ὥστε καὶ τῷ
ran-together from the prime of-the city so-that even to-the
κατὰ χέρσον πολεμίῳ στρατεύματι φρικασμὸς ἐπεγένετο
on land enemy army shuddering came-upon

σώματος, μεγίστην αἰφνηδὸν θεασαμένῳ παράταξιν. τάχα
of-body greatest suddenly having-beheld battle-line perhaps
δ' ἂν καὶ σωτήριον ἔργον διήνυστο, εἰ ὁμόσε
and — also saving deed would-have-been-done if to-close-quarters
κεχωρήκει τοῖς ἀντιπάλοις ἢ τῷ κηδεστῇ Λάσκαρι
he-had-gone with-the adversaries or to-the son-in-law Laskaris
τὴν συμπλοκὴν συγκεχώρηκεν, συμμῖξαι τοῖς Λατίνοις
the engagement has-allowed to-join with-the Latins
σφαδάζοντι. νῦν δὲ ἡ ἐνδελεχὴς τῆς φυγῆς ἔννοια καὶ
struggling now but the continual of-the flight thought and
τὸ τῶν περὶ αὐτὸν εὐπτόητον τοῦ τί δεῖ ποιεῖν
the of-those around him easily-scared from-the what (one)-must do
ἐξέκρουσε τὸν Ἀλέξιον. καὶ παραταξάμενος μόνον, ὅθεν
knocked-out — Alexios and having-drawn-up only whence
ἐξῆλθε Ῥωμαίοις ἀσπάσιος ὡς δῆθεν ἀντιταξόμενος
he-went-out to-(the)-Romans welcome as supposedly going-to-face
τοῖς Λατίνοις, εἰσῆλθεν αἴσχιστος καὶ ἐφύβριστος,
the Latins he-came-in most-shameful and insulted
σοβαρώτερον μᾶλλον καὶ θρασύτερον πεποιηκὼς τὸ
more-haughty rather and bolder having-made the
ἀντίμαχον, ἐπεὶ καὶ κατεπαρθὲν τῶν Ῥωμαίων ὀπίσω
opposing(-side) since also having-been-elated the Romans behind
τούτων εἵπετο τραπομένων πρὸς ὑπονόστησιν, καὶ τὰ
these followed having-turned to retreat and the
δόρατα ἐπεκράδαινον. εἰσιὼν οὖν Ἀλέξιος τὰ βασίλεια πρὸς
spears brandished entering then Alexios the palace for
ἀπόδρασιν ἐνσκευάζεται, ὡς εἴπερ φερομένην τὴν πόλιν εἰς
escape prepares as if-indeed being-borne the city to
ἀτυχὲς πτῶμα καὶ ὑπὲρ αἶσαν ἀφαντῶσαι διεπονεῖτο, καὶ
unlucky fall and beyond fate to-annihilate he-labored and
τὸν ταύτης ἀποτεταμένον συνέτεμεν ὄλεθρον. τὰ τοῦ
the its long-drawn-out cut-short destruction the(-things) of-the

σκοποῦ τοίνυν κοινωσάμενος μετρίοις τῶν κατευναστριῶν
plan therefore having-shared with-few of-the bed-women
ἐκείνῳ καὶ συγγενῶν, κἀκ τῶν θυγατέρων τὴν Εἰρήνην καὶ
his and kin and-of the daughters — Irene and
δέκα χρυσίου ἐνθέμενος κεντηνάρια καὶ κόσμους ἄλλους
ten of-gold having-taken-up centenaria and ornaments other
βασιλικοὺς ἐκ λίθων τιμαλφῶν συγκειμένους καὶ μαργάρων
imperial of stones precious composed and pearls
διαφανῶν, περὶ τὴν πρώτην ἄρας φυλακὴν τῆς νυκτὸς
translucent about the first having-set-out watch of-the night
ἤλαυνεν εἰς τὸ Δεβελτόν, ἔνθα τὴν οἰκείαν προητοίμασεν
rode to — Develtos where the own he-had-prepared
ἄφιξιν, δείλαιος ἐν ἀνθρώποις, μὴ φίλτρῳ παίδων
arrival wretched among men not by-love of-children
μαλαχθείς, μὴ γυναικὸς ἔρωτι δαμασθείς, μὴ τηλικαύτῃ
softened not of-wife by-love subdued not by-so-great
πόλει μαλακισθείς, μηδέ τι τῶν ἄλλων εἰς νοῦν
city moved nor anything of-the others into mind
βαλόμενος, φιλοψυχίᾳ δὲ καὶ δειλανδρίᾳ σωτηρίαν ἑαυτῷ,
having-cast by-love-of-life and also by-cowardice safety for-himself
καὶ ταύτην ἀμφίβολον, χωρῶν καὶ πόλεων τοσούτων καὶ
and this doubtful for-lands and cities so-many and
γένους παντὸς ἀλλαξάμενος. ἐβασίλευε μὲν οὖν ἐνιαυτοὺς
family all having-exchanged reigned indeed then years
ὀκτὼ καὶ μῆνας τρεῖς καὶ ἡμέρας δέκα, ἦν δὲ τὰ
eight and months three and days ten was and the(-things)
μὲν ἐς πόλεμον ὁποῖος εἴρηται, οὐδὲ τὰ πρὸς
indeed for war such-as has-been-said nor the(-things) for
κοινὴν διοίκησιν ἀπεξεσμένος παντάπασιν, ἵνα μὴ λέγοιμι
common administration polished altogether that not I-may-say
ὡς ἐξέκλινεν εἰς τὸ πάντῃ ὀλίγωρον. τὰ δ' ἄλλα
that he-swerved to the wholly negligent the(-things) and other

οὐκ ἦν τις ἀπόβλητος, χαρίεις δὲ τὸ ἦθος, εὐῆλιξ
not he-was anyone despicable gracious and the character well-grown
καὶ ὄρθιος. πλέον δὲ πάντων τῷ μειλιχίῳ τοῦ ἤθους
and upright more and than-all by-the gentleness of-the character
ἐκέκαστο, μὴ δυσπρόσοδος ὤν, οὔτε μὴν ὑποσκυζομένῳ
he-excelled not hard-of-access being nor indeed with-sullen
προσώπῳ καὶ ὑπεροφρυάζοντι βλέμματι ἐκκρούων καὶ
face and supercilious look repelling even
τὸ ὑπ᾽ ὀδόντα γρῦξαί τινα, ἀλλ᾽ ἦν τοῦ βουλομένου
the under tooth to-mutter anyone but it-was of-the wishing
παντὸς προσελθεῖν ἐκείνῳ καὶ δεηθῆναι, ἐνιαχοῦ δὲ καὶ
everyone to-come to-him and to-ask sometimes and also
πρὸς ἀντιφάσεις χωρεῖν οὐχ ὑποστελλομένῃ φωνῇ. καὶ
to contradictions to-proceed not with-held-back voice and
τοὺς ἐπαλλήλους διαβόλους καὶ τοὺς κόλακας λαμπρῶς
the successive slanderers and the flatterers openly
περιίστατο. ἔχων δὲ τὴν συνείδησιν βάλλουσαν ἐφ᾽ οἷς
he-shunned having and the conscience striking for what
ἠνόμησεν εἰς τὸν ἀδελφόν, τὸ χρεὼν ἐδεδίει καὶ τὴν
he-transgressed against the brother the fated(-end) he-feared and the
πάντα περισκοποῦσαν τὰ θνητῶν πράγματα δίκην διηνεκῶς
all watching-over the of-mortals affairs justice continually
ὑπεβλέπετο, ὅθεν κατανύξει καρδίας συνείχετο, καὶ δεικνὺς
looked-askance-at whence by-compunction of-heart was-gripped and showing
ἀκηδιῶν πνεῦμα ἤλυέ τε καὶ ἐδυσφόρει καὶ ἤχθετο. εἰ
of-listlessness spirit wandered both and was-distressed and was-vexed if
δὲ μέγα καὶ βασιλεῦσιν ἐργῶδες τὸ μὴ τῶν ἀσταχύων
and great also for-emperors toilsome the not of-the ears-of-grain
ἐκτέμνειν τοὺς ὑπερέχοντας μηδὲ θηριωδῶς ἐμπηδᾶν τοῖς
to-cut-off the overtopping nor savagely to-leap-upon those
παραλυπήσασι, καὶ τοῦτο προσπλουτοῦντα ἴδῃ τις ἂν
having-vexed also this possessing-besides may-see one —

τὸν Ἀλέξιον· οὐδὲ γὰρ πρὸς φυτείαν σκότους ὀφθαλμοὺς
— *Alexios not for to planting of-darkness eyes*
ἐπαττάλευσεν, οὐδὲ κλαδῶν ἦν ὡς ἀμπέλους τὰ τοῦ
he-staked nor pruning was as vines the of-the
σώματος ἀκρωτήρια, μάγειρος ἀνθρώπων γενόμενος. οὐδ'
body extremities butcher of-men having-become nor
ὅσον χρόνον τὴν στυγνόχροον πορφύραν ἐνεδέδυτο, γυνή
as-long time the gloomy-hued purple he-had-worn woman
τις ἠμφιάσατο μέλανα χήτει ἀνδρός, ὃν μέλας ἐκάλυψε
any put-on black for-want of-husband whom black covered
θάνατος. οὐδὲ πῦρ ἔβλεψε τῶν ὀμμάτων ὡς τῶν λίθων
death nor fire looked of-the eyes like the stones
οἱ ἀκτινώδεις, οὐδ' ἐνέφυ τισὶν εἰς ἐπήρειαν ὡς λείβειν
the radiant nor clung to-some for spite so-as to-shed
θρόμβους δακρύων ὁποῖα τὰ τῶν μαργάρων σφαιρώματα.
drops of-tears like the of-the pearls spheres

ISAAC II AND ALEXIOS IV

I · ISAAC RESTORED

With Alexios III gone, the people pass over his kin, and the eunuch Constantine and the axe-bearers restore the blind Isaac. The Latins release his son Alexios once Isaac ratifies the son's promises, and the young man becomes his father's partner in the empire. To pay the Latin leaders Isaac empties the treasury and strips the churches of icons and plate. The mob tears down the westerners' houses, angering the Amalfitans and Pisans; Isaac reconciles the Pisans with the Venetians, beside whom they camp at Peraia.

Ὧδε μὲν οὖν ἤλαυνεν ἐς Δεβελτὸν Ἀλέξιος, ὑπ' οὐδενὸς
thus indeed then rode to Develtos Alexios by no-one
ἐλαυνόμενος. ἦν δ' ἄρα οὐ μόνον χαλεπὸν γυνή,
being-driven it-was and after-all not only harsh woman
καὶ τὸ τῆς συνευνάσεως φίλτρον βλάψειε μᾶλλον ἢ
and the of-the bedding charm would-harm rather than
ὠφελήσειε, καθά τις ἐγνωμάτευσε τῶν πάλαι, κακῶς ἐς
would-help as one judged of-the of-old badly in
βασιλείαν παθὼν προκοίτου γυναικὸς εἰσηγήσεσιν· ἀλλὰ
reign having-suffered of-bedchamber woman by-suggestions but
καὶ γύννις ἀνὴρ ἀργαλέον πρᾶγμα καὶ χείριστον, καὶ τί
also effeminate man painful thing and worst and what
οὐκ ἂν ἐπαχθὲς καὶ εἰς κίνδυνον ἐλαῦνον τὸν ἔσχατον
not — grievous and into danger driving the extreme
τὸ ὑπ' ἐκεῖνον ταττόμενον πείσεται; ὃ δὴ καὶ
the(-people) under him ranged will-suffer which indeed also
Ῥωμαίοις αὐτοῖς συνενήνεκται, ἀνειμένους καὶ χαλαροὺς
to-(the)-Romans themselves has-befallen slack and loose
καὶ τὸν ἀπολαυστικὸν βίον μεταδιώκοντας δυστυχήσασιν
and the pleasure-seeking life pursuing having-had-the-misfortune

αὐτοκράτορας, τοὺς δ' αὐτοὺς καὶ δυσπάλαιστον μὲν
autocrats the and same both hard-to-wrestle indeed
τὴν ἀνάγκην ἀνύποιστον δὲ τὸ περὶ ψυχῆς δέος δι'
the necessity unbearable and the about life fear through
ὅλου κρίνοντας. ἀλλ' ὁ μὲν ὥδευεν ἣν προέθετο, ὁ
whole judging but he indeed traveled which he-purposed the
δ' ἐντὸς τῶν ἐν Βλαχέρναις ἀρχείων εὑρεθεὶς τῷ τότε
and within the in Blachernai palace found(-people) at-the time
λεὼς σφόδρα ἤνεγκεν ἀφορήτως τὴν Ἀλεξίου ἀπόδρασιν,
people greatly bore unbearably the of-Alexios escape
συστρεφόμενός τε καὶ συγχεόμενος τὴν ψυχὴν διὰ
twisting both and being-confounded the soul because-of
τὰς ἐμφαινομένας τῶν κακῶν ἐλπίδας· καὶ γὰρ ᾤοντο
the appearing of-the evils expectations and for they-thought
μηδὲν μελλήσαντας τοὺς Λατίνους, οἷα μηδὲ σκηνουμένους
nothing having-delayed the Latins as not-even camping
ἄποθεν ἢ τὸν ἐπισχήσοντα ἔχοντας, μεθ' ὅπλων αὐτίκα
far-off or the(-one) going-to-check having with arms at-once
ἐπιρρεῦσαι τῇ πόλει καὶ τῶν τειχέων εἴσω παρεισελθεῖν.
to-stream-upon the city and the walls inside to-get-in
οὐκοῦν καὶ τοὺς μὲν γένει προσήκοντας Ἀλεξίῳ καὶ
therefore both those indeed by-family related to-Alexios and
τοὺς ἄλλως ἐπιτηδείως ἔχοντας ἐκείνῳ καὶ τὴν ἄνασσαν
those otherwise friendly being to-him and the queen
Εὐφροσύνην, προδότου δόξαν λαβόντας, οὐ προσεκαλέσαντο
Euphrosyne of-traitor reputation having-got not they-called
εἰς τὴν ἀρχήν. διὰ δὲ τὸ ἄμαχον τῆς τῶν πραγμάτων
to the rule because-of and the irresistible of-the of-the affairs
ἀγρίας προσβολῆς εἰς αὐτὸν ἀφορῶσιν Ἰσαάκιον τὸν
savage assault to him they-look Isaac the
Ἀλεξίου κασίγνητον, ὡς εἰς τὴν καλουμένην ἱερὰν ἄγκυραν
of-Alexios brother as to the called sacred anchor

τελευταῖον οἱ τοῖς ἀκαταστορέστοις περιστοιχιζόμενοι
last those by-the unstillable surrounded
κύμασιν, ἔνδον τῶν ἀρχείων εἰργνύμενον. καὶ δὴ τοῦ
waves within the palace confined and indeed the
ἐκτομίου Κωνσταντίνου, ὃς ἐπὶ τῶν βασιλικῶν ἐτέτακτο
eunuch Constantine who over the imperial was-placed
θησαυρῶν, τοὺς πελεκυφόρους συναγαγόντος καὶ τούτοις
treasures the axe-bearers having-gathered and with-them
ὡμιληκότος τὰ δέοντα, συνδραμούσης δὲ καὶ συμμορίας
having-discussed the needful(-things) having-run-together and also band
τινῶν οἳ βασιλεύσειν αὖθις τὸν Ἰσαάκιον διὰ σπουδῆς
of-some who to-reign again — Isaac in earnest
πάλαι ἐτίθεντο, ἡ μὲν βασιλὶς Εὐφροσύνη συλλαμβάνεται,
long-ago held the indeed empress Euphrosyne is-arrested
χειροῦται δὲ καὶ τὸ συγγενὲς αὐτῇ, ὁ δ' Ἰσαάκιος
is-seized and also the kin to-her — and Isaac
ἀναγορεύεται αὐτοκράτωρ· καὶ χειραγωγούμενος δι'
is-proclaimed autocrat and being-led-by-the-hand because-of
ἣν ὑπέστη πήρωσιν, ὁ τὸ πᾶν ταττόμενος ἐφορᾶν,
which he-underwent blinding the(-one) the all appointed to-oversee
εἰς θῶκον ἀνάγεται τὸν βασίλειον. πέμψας δ' εὐθέως
to seat is-led the imperial having-sent and at-once
ἀγγέλους Ἀλεξίῳ τε τῷ υἱῷ καὶ τοῖς τοῦ Λατινικοῦ
messengers to-Alexios both the son and to-the of-the Latin
στρατεύματος ἡγεμόσι παρίστησι τὴν τοῦ βασιλέως καὶ
army leaders he-presents the of-the emperor and
ἀδελφοῦ φυγήν. οἱ δὲ οὔτε τι τῶν προσδοκωμένων
brother flight they but neither anything of-the expected
κατὰ τῆς πόλεως ἐνεόχμωσαν, καὶ τὸν Ἰσαακίου δὲ υἱὸν
against the city innovated and the of-Isaac and son
οὐ πρότερον αἰτησαμένου τοῦ πατρὸς ἐκπεπόμφασιν, εἰ μή

γε καὶ αὐτὸς Ἰσαάκιος εἰς πέρας ἀγαγέσθαι συνέθετο
at-least also himself Isaac to end to-bring agreed
ὅσα ὑπέσχετό σφισιν ὁ υἱὸς αὐτοῦ Ἀλέξιος. τὰ δὲ
as-much-as promised to-them the son his Alexios these and
ἦσαν, ὡς ἐν τοῖς λόγοις ἐρρέθη τοῖς ἔμπροσθεν, μηδεμίαν
were as in the accounts was-said the former no
τῶν πρὸς δόξαν καὶ κέρδος τοῖς διαθεμένοις Λατίνοις
of-the toward glory and gain for-the having-arranged Latins
ὑπερβολὴν ἀπολείποντα· ὑπὲρ γὰρ τοῦ μὴ τῆς πατρῴας
excess leaving for for the not of-the paternal
ἀρχῆς ἀποτεύξασθαι πάντα πράττων Ἀλέξιος, χαλίφρον
rule to-fail all(-things) doing Alexios light-minded
καὶ πραγμάτων ἀδαὲς μειράκιον, οὔτε ἠκριβολόγησέ τινα
and of-affairs ignorant lad neither examined-closely any
τῶν ζητημάτων οὔτε μὴν τὸ μισορώμαιον φρόνημα τῶν
of-the questions nor indeed the Roman-hating mind of-the
Λατίνων ὁπωσοῦν ἐβάλετο κατὰ νοῦν. ἐπὶ τοιαῖσδε τοίνυν
Latins at-all took into mind upon such therefore
τοῦ βασιλείου ὕψους καταστροφαῖς τὴν εἰς τὴν πόλιν
of-the imperial height overthrows the into the city
πριάμενος εἴσοδον, συνεδρίας ἠξίωτο πατρικῆς καὶ
having-bought entrance of-sitting-together was-deemed-worthy paternal and
βασιλείας προσλέληπται κοινωνός. ἅπας τοίνυν φυλέτης
of-empire was-taken-on partner every therefore citizen
τῆς πόλεως εἰς τὰ ἀρχεῖα συνέτρεχε σὺν τῷ πατρὶ τὸν
of-the city to the palace ran-together with the father the
υἱὸν ὀψόμενος καὶ ἀμφοῖν ἀποδώσων προσκύνησιν. μετ᾽
son to-see and to-both to-render obeisance after
οὐ πολλὰς δ᾽ ἡμέρας καὶ οἱ τῶν Λατίνων ἡγεμόνες
not many and days also the of-the Latins leaders
ἐς τὰ βασίλεια παραβάλλουσιν, οὐχ οὗτοι δὲ μόνον
to the palace come not these and only

ἀλλὰ καὶ οἱ τὸ γένος παρ᾽ ἐκείνοις ἐπίσημοι· καὶ
but also those the birth among them distinguished and
παρενηνεγμένων σκιμπόδων τοῖς βασιλεῦσι συνήδριζον
having-been-brought stools with-the emperors sat
ἅπαντες, εὐεργέται καὶ σωτῆρες ἀκούοντες καὶ πᾶσαν
all benefactors and saviors being-called and every
ἄλλην ἀγαθὴν προσηγορίαν δεχόμενοι, ὡς τὸν φίλαρχον
other good title receiving as the power-loving
Ἀλέξιον ἐς αὐτὰ τισάμενοι τὰ παιδικὰ καὶ δυσπραγοῦσιν
Alexios in very having-punished the darling and faring-ill
αὐτοῖς ἐπαμύναντες. οὐ ταῦτα δὲ μόνον, ἀλλὰ καὶ
to-them having-helped not these(-things) and only but also
πάσης μετεῖχον φιλοφροσύνης καὶ δεξιώσεως, θεραπευτήριά
of-all they-shared kindness and welcome services
τε καὶ τρυφητήρια τούτοις ἐπινενόηνται· Ἰσαάκιος γὰρ
both and luxuries for-them were-devised Isaac for
εἴ τί που ἔστεγεν ἔνδον τὸ βασιλείας γαζοφυλάκιον,
if anything anywhere held within the of-empire treasury
καὶ αὐτὸς δὲ συμπορισάμενος ἦν συνειληφὼς Εὐφροσύνην
and himself too having-scraped-together was having-seized Euphrosyne
τὴν βασιλίδα καὶ τοὺς τὸ γένος εἰς αὐτὴν ἀναφέροντας,
the empress and those the family to her tracing
ἐξεφόρει τε ἀμφοτέραις καὶ μετήγγιζεν ἀδεέστερον. ἐπεὶ
carried-out both with-both(-hands) and poured-off fearlessly when
δὲ ταῦτα ὡσεὶ καὶ ῥανὶς ἐκρίνετο τοῖς λαμβάνουσιν
and these(-things) as-if even drop were-judged by-those receiving
(οὐδὲν γὰρ ἔθνος ἐρασιχρηματώτερον τοῦδε τοῦ γένους
no for nation more-money-loving than-this the race
τρεχεδειπνότερόν τε καὶ δαπανηρότερον ἕτερον) καὶ
more-dinner-chasing both and more-extravagant other and
διψῶντες ἦσαν ἀεὶ προχοῶν πελάγους Τυρσηνικοῦ, ἅπτεται
thirsting they-were ever of-outpourings of-sea Tyrrhenian he-lays-hands

καὶ τῶν ἀψαύστων παναθεμίτως, ὁπόθεν, οἶμαι, καὶ τὰ
also on-the untouchable most-unlawfully whence I-think also the(-affairs)
Ῥωμαίων ἀνατέτραπται τέλεον καὶ ἠφάντωται· ὡς γὰρ
of-(the)-Romans have-been-overturned wholly and have-vanished when for
χρημάτων ἐσπάνιζε, καὶ τοῖς θείοις ἐπεφύη διὰ τοῦτο
of-money he-lacked also on-the divine he-fell because-of this
τεμένεσιν. ἦν γὰρ ἰδεῖν οὐ μόνον τὰς ἱερὰς εἰκόνας Χριστοῦ
precincts it-was for to-see not only the holy icons of-Christ
ἀξίναις ἐκκοπτομένας καὶ χαμαὶ ῥιπτομένας, καὶ τοὺς
with-axes being-hacked and on-the-ground being-thrown and the
αὐτῶν κόσμους μὴ σὺν φειδοῖ ἀλλ' ὡς ἔτυχεν ἐκσπωμένους
their ornaments not with care but as it-chanced being-torn-off
καὶ πυρὶ παραπεμπομένους, ἀλλὰ καὶ σκεύη τὰ σεπτά
and to-fire being-sent but also vessels the revered
τε καὶ παναγῆ ἀπεριθαμβήτως ἐκ τῶν ναῶν ἁρπαζόμενα
both and all-holy without-awe from the churches being-seized
καὶ πυρούμενα καὶ ὡς κοινὸν ἀργύριον καὶ χρυσίον τοῖς
and being-melted and as common silver and gold to-the
πολεμίοις στρατεύμασιν παρεχόμενα. καὶ τῆς κατὰ τῶν
enemy armies being-given and of-the against the
ἁγίων τῆσδε λύττης οὔτ' αὐτὸν τὸν κρατοῦντα εἰσήει τις
holy(-things) this madness neither himself the ruler entered any
αἴσθησις ὁπωσοῦν, τῶν τε ἄλλων οὐδεὶς παρρησιαζόμενος
perception at-all of-the and others no-one speaking-boldly
ἦν τὴν εὐσέβειαν, ἀλλὰ τῆς ἐχεμυθίας ἕνεκεν, εἴτ' οὖν
was the piety but the reticence because-of or then
ἀναλγησίας εἰπεῖν οἰκειότερον, οὐδὲν τῶν παραφόρων
of-insensibility to-say more-properly nothing from-the deranged
διενηνόχαμεν ἅπαντες, ὅθεν ὡς ὑπεύθυνοι πεπόνθαμέν τε
we-differed all whence as accountable we-suffered both
καὶ εἴδομεν ὁπόσα βαρυσυμφορώτερα τῶν κακῶν.
and saw as-many-as more-calamitous of-the evils

Ὁποῖον γὰρ τὸ χυδαΐζον στῖφος τῆς πόλεως, μήτ' αὐτόθεν
what-kind for the vulgar mob of-the city neither of-itself
τοῖς ἐπαινετοῖς προσχωροῦν μήθ' ἑτέρῳ πειθόμενον
to-the praiseworthy(-things) inclining nor another obeying
εἰσηγουμένῳ τὰ λῴονα, ἤδη ταῖς Ῥωμαϊκαῖς χώραις
proposing the better(-things) already into-the Roman lands
εἰσκεχυμένων τῶν πολεμίων εἰς ἔδαφος καθαιρεῖ καὶ διαλύει
having-poured the enemies to ground pulls-down and dissolves
παραλόγως εἰς χοῦν τὰς πρὸς θάλασσαν οἰκίας τῶν ἐξ
unreasonably into dust the toward sea houses of-the from
ἑσπέρας ἐθνῶν, μὴ διαστεῖλαν τοῦ πολεμίου τὸ φίλιον.
(the)-west nations not having-distinguished from-the hostile the friendly
ἐδυσχέραινον οὖν πρὸς τὴν ἀβουλίαν ταύτην καὶ ἀτοπίαν
were-vexed then at the folly this and outrage
οὐ μόνον ὅσοι ἐκ τῆς Ἀμόλφης ἤθεσιν ἐντεθραμμένοι
not only as-many-as from — Amalfi in-customs reared
Ῥωμαϊκοῖς, ἀλλὰ καὶ οἱ τῶν ἐκ τῆς Πίσσης τὴν
Roman but also those of-the from — Pisa the(-city)
Κωνσταντίνου ἀνθείλοντο. μήπω τοίνυν φυγὰς ὀφθεὶς
of-Constantine preferred not-yet therefore fugitive having-appeared
ὁ βασιλεὺς Ἀλέξιος χρησταῖς ἐλπίσι τοὺς ἐκ τῶνδε τῶν
the emperor Alexios with-good hopes those from these the
γενῶν ἐβουκόλει καὶ τὸ τῆς λύπης ἀφῄρει πολύ. ὡς δ'
races beguiled and the of-the grief removed much when and
ὁ μὲν δρασμῷ ἐχρήσατο, βασιλεύσας δ' ἦν Ἰσαάκιος,
he indeed to-flight had-recourse having-reigned and was Isaac
καταλλάσσει τοὺς ἐκ τῆς Πίσσης τοῖς Βενετίκοις, καθ'
reconciles those from — Pisa with-the Venetians against
ἡμῶν καὶ τοῦτο ἀσυντηρήτως ἐπιτεχνώμενος· οἱ δὲ πρὸς
us also this unguardedly contriving they and to
τὴν Περαίαν ἀπάραντες, ἐν ᾗ κατέλυον οἱ διάφοροι,
— Peraia having-gone-off in which lodged the hostile

γίνονται τοῖς πρώην ἀντίφροσι σύσκηνοι καὶ ὁμόδειπνοι
become with-the former opponents tent-mates and table-mates
καὶ τὰ πάντα συμφυεῖς καὶ ὁμόφρονες. ἐννακαιδεκάτην
and the all at-one and like-minded nineteenth
διάγοντος τοῦ Αὐγούστου μηνός, τῆς ἕκτης ἰνδικτιῶνος,
passing the August month of-the sixth indiction
τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ καὶ ἑνδεκάτου ἔτους,
of-the six-thousandth seven-hundredth and eleventh year

II · THE GREAT FIRE

Flemings, with Pisans and Venetians, raid the Saracens' mosque; driven off by the Saracens and the Romans, they set fire to the city. The fire burns through a night, a day, and an evening, crossing the city from sea to sea, from the mosque past the Milion and the forum of Constantine to the Hippodrome, and most of the citizens lose all they own. Isaac grieves less than he should, his son prays for the fire to finish the city, and the melting of sacred treasures goes on, the Latins selling the metal.

τινὲς τῶν Φραγγίσκων (οὗτοι δέ εἰσιν οἱ πάλαι
some of-the Franks these and are the of-old
Φλαμίονες κικλησκόμενοι) Πισσαίων καὶ Βενετίκων μοῖραν
Flemings called of-Pisans and Venetians part
προσειληφότες, ὡς εἰς ὄψον ἕτοιμον καὶ προχειρότατον
having-taken-on as to dish ready and most-handy
ἔρμαιον τὰ τῶν Σαρακηνῶν διαπλωΐζονται χρήματα. καὶ
windfall the of-the Saracens sail-across goods and
δὴ τὸ σύνταγμα ἐκεῖνο τὸ πονηρὸν τῇ πόλει προσσχὸν
indeed the band that the wicked to-the city having-put-in
δι' ἁλιάδων (οὐδὲ γὰρ ἦν τις ὁ προσιστάμενος ὅλως
by fishing-boats nor for was anyone the(-one) hindering at-all
ἐπιπλέειν σφᾶς τῇ πόλει καὶ αὖθις ἀνάγεσθαι) τῷ τῶν
to-sail-to them to-the city and again to-put-out on-the of-the

ἐξ Ἄγαρ συναγωγίῳ λάθρᾳ ἐπεισπίπτουσιν, ὅ φησι
from Hagar meeting-house secretly fall-upon which calls
Μιτάτον ἡ δημώδης διάλεκτος, καὶ τὰ ἐνόντα μετὰ
Mitaton the popular dialect and the(-things) inside with
ξίφους λῃστεύουσιν. ὡς δ' οὕτω ταῦτα παραλόγως καὶ
sword plunder when and thus these(-things) unreasonably and
ὑπὲρ δόκησιν πᾶσαν παρηνομεῖτο, ἠμύνοντο μὲν αὐτοὺς
beyond expectation all were-done-lawlessly defended-against indeed them
οἱ Σαρακηνοὶ τὰς χεῖρας τοῖς παρατυχοῦσιν ὁπλίσαντες,
the Saracens the hands with-the whatever-came having-armed
ἐπιβοηθοῦσι δὲ καὶ Ῥωμαῖοι, παρὰ τῆς τοῦ κακοῦ φήμης
come-to-help and also (the)-Romans by the of-the evil rumor
ἐκεῖσε συνηλισμένοι. καὶ οὔκουν μὲν ἅπαν ὁπόσον καὶ
there gathered and not-then indeed all as-much-as even
ἔδει κατήνυσαν, ἐπὶ δὲ βραχὺ τῆς τῶν ἀνδρῶν ἐκείνων
was-needful achieved for and short of-the of-the men those
ὁμαιχμίας ἀναχώρησις γίνεται. οἱ δὲ τὸ δι' ὅπλων
alliance withdrawal happens they and the by arms
ἀντέχειν μεθέντες ἐπὶ τῷ μὴ πάνυ πρότερον ἐμπρησμῷ
to-hold-out having-given-up upon the not very earlier fire
διανοοῦνται καὶ δεύτερον, ἀνυσιμώτατον ἀμυντήριον καὶ
think also second most-effective defense and
ὑπὲρ ἅπαν ἕτερον τὴν πόλιν ἔχον ταχὺ κατεργάσασθαι
beyond every other the city able quickly to-ruin
πείρᾳ μεμαθηκότες τὸ πῦρ. καὶ δὴ κατὰ πλείστους
by-experience having-learned the fire and indeed in very-many
διαστάντες τόπους πῦρ ταῖς οἰκίαις ὑφάπτουσι. τὸ δὲ
having-spread places fire to-the houses set the and
μεταρσιωθὲν ὑπὲρ ἔννοιαν τὴν νύκτα ὅλην ἐκείνην καὶ
having-risen beyond thought the night whole that and
τὴν ἐπιοῦσαν ἡμέραν καὶ τὴν ταύτης διάδοχον ἑσπέραν
the following day and the its succeeding evening

τὸ πᾶν ἐπενέμετο. καὶ ἦν καινὸν τὸ ὁρώμενον καὶ πᾶσαν
the all devoured and was strange the seen(-thing) and every
ὑπερβαῖνον λόγου δύναμιν· πολλῶν γὰρ καὶ ἄλλων τῇ
surpassing of-speech power many for and other to-the
πόλει πρότερον ἐμπρησμῶν, οὐμενοῦν εἴπῃ τις ὁπόσων
city before fires by-no-means could-say anyone how-many
καὶ οἵων γεγενημένων, ὁ τότε συμβὰς ἐναύσματα
and what-kind having-happened the then occurring kindlings
βραχέα τοὺς πάντας ἀπέδειξε. πολλαχοῦ γὰρ διαιρούμενος
small the all showed in-many-places for being-divided
καὶ διασπώμενος τῆς συνεχείας αὖθις συνήρχετο, καὶ ὡς
and being-torn from-the continuity again came-together and as
εἰς ὁλκὸν ἕνα πυρόεντος συνήπτετο ποταμοῦ. ἀνετρέποντο
into course one of-fiery was-joined river were-overturned
στοαί, ἀγορῶν κάλλη κατερριπτεῖτο, κιόνων μέγεθος
colonnades of-markets beauties were-cast-down of-columns greatness
διεφορεῖτο καθ' ὕλην εὔπρηστον. οὐκ ἦν τῶν ὄντων
was-dissipated like material inflammable not was of-the existing(-things)
οὐδὲν ὃ ἦν ἐκείνου τοῦ πυρὸς σθεναρώτερον. τὸ δὲ
anything which was than-that the fire stronger the and
δὴ παράδοξον, ὡσεὶ ψωμοὶ πυρὸς ἐξ ἐκείνης τῆς
indeed strange like morsels of-fire from that the
βαρυβρόμου καὶ σιδηρᾶς ἐμπρήσεως ἀποσπώμενοι καὶ
deep-roaring and iron burning torn-off and
φερόμενοι διαέριοι τὰς πόρρωθεν οἰκοδομίας κατέφλεγον,
borne through-the-air the distant buildings burned-down
κατὰ διαστήματά πως ἀκοντιζόμενοι καὶ ὡς οἱ ἐν αἰθέρι
at intervals somehow being-hurled and like the in sky
διάττοντες ἐκτεινόμενοι· καὶ τὸν ἐν μέσῳ χῶρον ἀθιγῆ
shooting-stars stretching-out and the in between space untouched
τῷ τέως ἐῶντες καὶ ἀκατάπρηστον, μετὰ βραχὺ κἀκεῖνον
for-the while leaving and unburned after short and-that

ἐπανιόντες συνέμαρπτον καὶ ἠφάνιζον. ἐν πολλοῖς δὲ
returning seized and destroyed in many(-places) and
καὶ κατ᾽ εὐθυωρίαν τὸ πῦρ προϊόν, ὑπ᾽ ἀνέμου βορρᾶ
also in straight-line the fire advancing by wind north
ἐλαυνόμενον, μετὰ βραχὺ παρεκκλῖναν, ὡς εἰ νότος αὐτὸ
driven after short having-swerved as if south(-wind) it
διερρίπιζεν, ὡρᾶτο δόχμιον, ἀμαυροῦν ἐπιστροφάδην καὶ
fanned was-seen slanting darkening turning-about and
τὰ ὅλως ἐμπρησθῆναι ἀνυπονόητα. συνεπελάβετο δὲ καὶ
the at-all to-be-burned unsuspected seized and also
τοῦ μεγίστου νεὼ τὸ δεινόν. καὶ δὴ ὅσα πρὸς ἀψῖδα
the greatest temple the terror and indeed as-many-as toward (the)-arch
νένευκε τοῦ Μιλίου καὶ τῷ ἀνδρῶνι συνῆπται τῷ Μάκρωνι
face of-the Milion and to-the hall are-joined the Makron
καὶ τῷ λεγομένῳ αἱ Σύνοδοι, εἰς ἔδαφος κατερράγησαν,
and the(-one) called the Synods to ground crashed-down
μὴ τῆς ὀπτῆς ἐπαρκεσάσης πλίνθου, μὴ τῶν βαθέων
not the baked having-sufficed brick not the deep
ἀντισχόντων θεμέθλων, ἀλλ᾽ ἐνδύντων πάντων καὶ δίκην
having-held-out foundations but having-given-way all and like
θρυαλλίδων κατεργασθέντων. ἤρξατο μὲν οὖν ἡ πρώτη
wicks having-been-consumed began indeed then the first
τοῦ πυρὸς ἁφὴ ἀπὸ τοῦ συναγωγίου τῶν Σαρρακηνῶν (τὸ
of-the fire kindling from the meeting-house of-the Saracens it
δέ ἐστι κατὰ τὸ πρὸς θάλασσαν ἐπικλινὲς βόρειον μέρος
and is on the toward sea sloping northern part
τῆς πόλεως καὶ τῷ τεμένει ἐγγίζον ὃ ἐπ᾽ ὀνόματι τῆς
of-the city and to-the precinct near which in name of-the
ἁγίας Εἰρήνης ἵδρυται), καὶ πρὸς ἕω κατ᾽ εὖρος λωφῆσαν
holy Irene is-founded and toward east by breadth having-subsided
ἐς τὸν νεὼν τὸν παμμέγιστον, κατὰ δ᾽ ἑσπέραν ἐς τὸ
at the temple the all-greatest toward and west to the

λεγόμενον Πέραμα ἐξεμηκίσθη, καὶ διερρύη ἔκτοτε τοῦ
called Perama it-stretched and flowed-through thereafter the
πλάτους λαβόμενον τῆς πόλεως, ἢ μᾶλλον τὸ καινότατον,
breadth having-taken of-the city or rather the strangest
καὶ ταῦτα κατ᾽ ἐπίβασιν ὥσπερ ὑπεραλάμενον τὰς ἔξωθεν
and this by step as-if having-leaped-over the outside
τῆς πόλεως οἰκήσεις κατενεμήσατο, καὶ νῆα περιπλέουσαν
of-the city dwellings consumed and ship sailing-around
ἄνθρακες ἐκτιναχθέντες κατέφλεξαν. ᾐθάλωντο δὲ καὶ
coals shaken-out burned had-been-burned and also
οἱ τοῦ Δομνίνου λεγόμενοι ἔμβολοι, αἵ τε ὑπόστεγοι
the — of-Domninos called porticoes the and roofed
ἀμφίδυμοι ἄμφοδοι αἱ ἀπὸ τοῦ Μιλίου ἀρχόμεναι, ὧν
twin streets the from the Milion beginning of-which
ἀτέρα εἰς αὐτὸ παρατείνει τὸ Φιλαδέλφιον. σὺν αὐτοῖς
one to itself extends the Philadelphion with them
δὲ ἡ Κωνσταντίνειος ἀγορὰ καὶ τὰ μεταξὺ πάντα,
and the Constantinian forum and the between all
ὅσα πρὸς βορρᾶν καὶ νότον πρόεισιν ἄνεμον. οὐδ᾽
as-many-as toward north and south go-forth wind not-even
αὐτὸ τὸ ἱππικὸν ἀδιαλώβητον ὑπολέλειπτο, ἀλλὰ καὶ
itself the Hippodrome unharmed was-left but also
τούτου τὸ πρὸς δυσμὰς ἅπαν μέρος ἐξεπυρώθη, καὶ
of-it the toward west whole part was-burned and
ὅσα κάτεισιν ἐς Σοφίας καὶ κατ᾽ αὐτὸ τὸ Βύκανον
as-much-as goes-down to Sophiai and by itself the Bykanon
παρεκτείνεται, καὶ καθεξῆς ὁπόσα τοῖς τοῦ Ἐλευθερίου
extends and in-order as-many-as to-the — of-Eleutherios
ἀγχιτέρμονα μέρεσι. τοῦ δὲ πυρὸς ἀπὸ θαλάσσης ἕως
bordering parts the and fire from sea to
θαλάσσης τὴν πόλιν οὑτωσὶ διαζώσαντος καὶ διελθόντος
sea the city thus having-girdled and gone-through

ὡς εἰς χάσμα μέγιστον, ἢ ποταμοῦ πυρὸς μέσον ἕλκοντος,
as into chasm greatest or of-river of-fire middle drawing
οὐκ ἦν ἀκίνδυνον συμμῖξαι τοῖς φιλουμένοις, εἰ μή
not was safe to-meet with-the loved-ones if not
τις ἀκατίῳ διεπορθμεύετο. τότε καὶ οἱ πλείους τῶν
anyone by-boat was-ferried then also the most of-the
οἰκητόρων τῆς πόλεως τῶν οὐσιῶν ἀπεψίλωντο, οἷα τοῦ
inhabitants of-the city of-the estates were-stripped as the
πυρὸς τοῖς μὲν ἀπαρασκεύοις ἐπιφθάσαντος, τῶν δὲ τὰ
fire the indeed unprepared having-overtaken those and the
ὄντα μεταθεμένων πρὸς ἑτέρας καταγωγὰς καὶ μηδ᾽
possessions having-moved to other lodgings and not-even
οὕτω διασωσαμένων αὐτά· ἕλιξι γὰρ καὶ περικαμπαῖς
thus having-saved them with-spirals for and windings
ἐκτροπαῖς τε πλείσταις καὶ ἐπανόδοις τὸ πῦρ χρησάμενον
turnings and very-many and returns the fire having-used
ἠφάντου τὰ μεταγόμενα. ὦ μοι τῶν λαμπροτάτων καὶ
obliterated the moved(-goods) O me of-the most-splendid and
περικαλλῶν δόμων καὶ παντοίας γεμόντων χάριτος, καὶ
very-beautiful houses and every full grace and
τοῦ ῥυηφενοῦς πλούτου καὶ ζηλωτέου παρ᾽ ἅπασι!
of-the abundant wealth and enviable among all
Πρὸς δὲ τὰ δεινότατα ταῦτα συναντήματα ὁ μὲν
at and the most-terrible these events the indeed
βασιλεὺς Ἰσαάκιος ἤχθετο, εἰ καὶ μὴ ἐς ὅσον εἰκός, ὁ
emperor Isaac was-grieved if even not to as-much-as fitting the
δὲ τούτου υἱὸς Ἀλέξιος οὐχ ὅπως οὐκ ἐδυσχέρανεν, ἀλλὰ
but his son Alexios not how not was-vexed but
καὶ συντελεσμὸν ἐπηύχετο τοῦ παντός, ὁ τῆς πατρίδος
even completion prayed-for of-the whole the of-the fatherland
δαλὸς καὶ τὴν ὄψιν φλογερὸς κἀντεῦθεν διαχαράττων τὸν
firebrand and the face fiery and-thence engraving the

γραφικὸν ἐμπρηστὴν πονηρὸν ἄγγελον. μήπω δὲ καθαρῶς
scriptural incendiary wicked angel not-yet and fully
λωφήσαντος τοῦ πυρὸς ἡ τῶν θείων αὖθις κειμηλίων
having-abated the fire the of-the divine again treasures
συλλογή τε καὶ καταχώνευσις ὑπὲρ τὸ πρὶν ἐπετείνετο. ὁ
collection both and melting-down beyond the before was-intensified the
δέ γε τῶν Λατίνων στρατὸς τὸν χορηγούμενον αὐτοῖς
and at-least of-the Latins army the supplied to-them
οὑτωσὶ χρυσόν τε καὶ ἄργυρον εἴς τε τὰς σωματικὰς
thus gold both and silver for both the bodily
χρείας ὡς ὕλην βέβηλον μετεσκευάζον καὶ τοῖς βουλομένοις
needs as material profane refashioned and to-those wishing
προύβαλλον εἰς πρατήριον, ἑαυτοῖς μὲν τὸ ἀνεπέγκλητον
put-forward for sale for-themselves indeed the blamelessness
ἐπιμαρτυρόμενοι (οὐ γὰρ ἠγνόουν ὁπόθεν συνείλεκτο τά
claiming not for they-were-unaware whence had-been-collected the
σφισι βραβευόμενα χρήματα) ὡς τὰ ὠφειλημένα λαμβάνουσι,
to-them awarded money as the owed(-things) receiving
τοῖς δὲ Ῥωμαίοις τὴν ὑψόθεν ἐπιχαλῶντες ὀργὴν ὡς
on-the but (the)-Romans the from-on-high calling-down wrath as
περιέπουσι μὲν τὰ οἰκεῖα κοινοῦσι δὲ τὰ θεοῦ.
cherishing indeed the own(-things) profaning but the(-things) of-God

The young Alexios, with Boniface and promising him sixteen centenaria, chases his uncle through Thrace and returns. Isaac, jealous of the acclamations given his son first, abuses him, and with reason: the son dices in the Latin camp, where his companions take his jeweled diadem and give him a woolen Latin cap. Monks at Isaac's table promise him sight and world rule. A drunken mob smashes the bronze Athena of the forum, thinking she beckons the western armies, and the emperors strip the rich and the great church's gold.

Δεῆσαν δὲ κἀκ τῶν Λατινικῶν δυνάμεων σύναρσιν
it-being-needful and also-from the Latin forces help
εὕρασθαι τὸν Ἀλέξιον (ὁ γὰρ θεῖος αὐτῷ καὶ πρώην
to-find — Alexios the for uncle his and formerly
βασιλεύων Ἀλέξιος ἀπαναστὰς τοῦ Δεβελτοῦ τὴν
reigning Alexios having-departed — from-Develtos the(-city)
Ἀδριανοῦ κατέλαβε, καὶ ἣν ἀπείπατο βασιλείαν, ἐρασταῖς
of-Hadrian seized and which he-renounced empire to-lovers
καταπροδοὺς ἐκμανέσιν ἐρᾶν τε πάλιν καὶ πειρᾶν οὐκ
having-betrayed frenzied to-love both again and to-attempt not
ᾐσχύνετο), οὐκ ἄλλως συνέκδημον αὐτῷ καὶ συστράτηγον
was-ashamed not otherwise fellow-traveler to-him and fellow-general
τὸν μαρκέσιον ἐπεσπάσατο Βονιφάτιον, εἰ μὴ χρυσίου
the marquis drew Boniface if not of-gold
δέκα πρὸς τοῖς ἓξ καταθέσθαι οἱ συνέθεντο κεντηνάρια.
ten besides the six to-pay to-him they-agreed centenaria
ἐξιὼν τοίνυν φυγάδα δείκνυσι τὸν Ἀλέξιον συντονωτέρῳ
going-out therefore fugitive shows — Alexios more-intense
τοῦ προτέρου καὶ πολλῷ μακροτέρῳ χρησάμενον
than-the earlier and much longer having-used
δραπετεύματι. ἀμέλει καὶ τὰς Θρᾳκίας πόλεις περιελθών,
flight indeed and the Thracian cities having-gone-round

καὶ ταύτας καταστησάμενος, εἰπεῖν δὲ καὶ καλαμησάμενος
and them having-settled to-say and also having-gleaned
(ὁ γὰρ συνέκδημος ἐκείνῳ στρατὸς συχνάκις ὠρεκτία
the for accompanying him army often longed
τῶν χρυσορρείθρων ἀρύεσθαι, καὶ κατὰ τοὺς διψάσι
from-the gold-flowing(-streams) to-draw and like those by-dipsas-snakes
δηχθέντας πίνων οὐκ ἐκορέννυτο) καὶ μέχρι Κυψέλλων
bitten drinking not was-sated and as-far-as Kypsella
κατιών, ἐπάνεισι πάλιν εἰς τὰ βασίλεια, ἅπας τῆς φατρίας
going-down returns again to the palace wholly to-the faction
ἐξηρτημένος οἳ τὴν τοῦ πατρὸς πήρωσιν καὶ τὴν ἐκ τῆς
attached who the of-the father blinding and the from the
ἀρχῆς καθαίρεσιν Ἀλεξίῳ τῷ θείῳ συνδιεπράξαντο. ὃ καὶ
rule deposition with-Alexios the uncle had-accomplished which also
μὴ φέρειν Ἰσαάκιος ἔχων, ὅτι καὶ ἦν καιροφυλακῶν εἰς
not to-bear Isaac being-able since also he-was watching-for-a-chance into
φῶς ἐκρῆξαι τὸν κότον ὃν ὑπέτυφεν ἐκ μακροῦ τῇ
light to-burst-out the grudge which he-had-smoldered from long in-the
ψυχῇ κατὰ τῶν σχέτλια ἐκεῖνον ἐργασαμένων δεινά,
soul against those cruel him having-done terrible(-things)
κακηγορῶν οὐκ ἐνέλιπε τὸν υἱόν, καὶ μάλισθ' ὅτι τὴν
reviling not ceased the son and especially because the
οἰκείαν ἑώρα ἰσχὺν ὑποβαίνουσαν καὶ κατὰ βραχύ πως
own he-saw strength sinking and by little somehow
ἀφιπταμένην καὶ πρὸς τὸν υἱὸν μεταρρέουσαν. ἀπεπνίγετο
flying-off and to the son flowing-over was-choked
δὲ καὶ πρὸς τὴν μετάθεσιν τῆς ἀναγορεύσεως· ὁ μὲν γὰρ
and also at the change of-the acclamation the indeed for
υἱὸς προταττόμενος κατατεινομέναις ἀνευφημεῖτο φωναῖς,
son being-put-first with-straining was-acclaimed voices
ὡς τῷ πατάγῳ κόπτεσθαι τὰ ἀνάκτορα, ὁ δὲ κατὰ
so-that by-the din to-be-struck the palace the but like

τὸ τῆς ἠχοῦς ὑστερόφωνον παρηκολούθει ταῖς υἱϊκαῖς καὶ
the of-the echo late-sounding followed the son's and
στερροτέραις ἀνακηρύξεσιν. οὐδὲν δέ τι δρᾶσαι πρὸς τὰ
stronger proclamations nothing and — to-do against the
γινόμενα οὕτω δυνάμενος ὑπ' ὀδόντα ἐτονθόρυζε, καὶ
happening(-things) thus being-able under tooth he-muttered and
οἷς ὡς ἐξ ἀδύτων τῆς καρδίας ἀνεμήρυε τὰ ἀπόρρητα,
in-what as from sbrines of-the heart he-ruminated the secret(-things)
κατὰ τοῦ υἱοῦ ἀπόφημα διελέγετο, ἔωλα μὲν αὐτῷ
against the son ill-omened(-things) he-spoke stale indeed to-him
τὰ χρηστὰ λέγων εἶναι, καὶ ὡς οὐδ' ὅλως σωφροσύνῃ
the good(-things) saying to-be and that not at-all by-moderation
ἐρρύθμισται, ἐν τοῖς χειρίστοις τὸ ἦθος τυπούμενος,
has-been-shaped in the worst the character being-formed
φθόροις τε ἀνδράσι συνδιαιτώμενος καὶ τὰ ἤθη τούτων
with-corrupt and men living-with and the manners of-these
ἀναματτόμενος. οὐ μάτην δὲ ταυτὶ καὶ εἰκαίως κατὰ
taking-impress not in-vain and these(-things) and randomly against
τοῦ υἱοῦ ἠγόρευεν Ἰσαάκιος, ἀλλὰ καὶ πλείω ἕτερα
the son spoke Isaac but also more other(-things)
καὶ ἀσελγέστερα πολλῷ πλημμελῶν τὸ μεγαλοπρεπὲς καὶ
and more-licentious by-much offending the magnificent and
παγκλεΐστον τῆς τῶν Ῥωμαίων βασιλείας κατερρύπαινεν
all-glorious of-the of-the Romans empire he-sullied
ὄνομα. εἰς γὰρ τὰς τῶν βαρβάρων σκηνὰς μετὰ μετρίων
name into for the of-the barbarians tents with few
ὀπαδῶν περαιούμενος συνεκραιπάλα τοῖς ἐν αὐταῖς καὶ
attendants crossing he-caroused-with those in them and
συνδιημερεύων ἐκύβευεν. οἱ δὲ συμπαίγμονες ἐκείνῳ τὸ
spending-the-day-with diced the and playmates with-him the
τῆς κεφαλῆς ἀφαιροῦντες διάδημα, χρυσόκολλον ὂν καὶ
of-the head taking-off diadem gold-soldered being and

λιθόστρωτον, αὐτοὶ μὲν ἐκεῖνο περιετίθεντο, τὸν δ'
stone-set themselves indeed it put-on — and
Ἀλέξιον περιέβαλλον τὸ λαχνῆεν καὶ ἐρεοῦν καὶ τῆς
Alexios they-put-around the shaggy and woolen and of-the
Λατινικῆς ταλασίας περίβλημα. οὐ μόνον δὲ ὁ Ἀλέξιος
Latin wool-work garment not only and — Alexios
ἐνευκαιρῶν ταῖς πράξεσι ταύταις παρὰ τοῖς τῶν Λατίνων
indulging-in the deeds these among the of-the Latins
εὐσχήμοσι καὶ τοῖς τῶν Ῥωμαίων σώφροσι βδελυγμίας
decent and the of-the Romans sober of-loathing
ἐκρίνετο, ἀλλὰ καὶ ὁ τούτου πατὴρ Ἰσαάκιος οὐκ ἐπ'
was-judged but also the his father Isaac not to
ἔλαττον ἦν στυγητός, ἐπειδήπερ καὶ πάλιν ἀλλοκότοις
less was hateful since also again with-strange
δόξαις περιεφέρετο, λόγιά τε καὶ ὀμφὰς συντιθεὶς οὐκ
notions he-was-carried-about oracles both and voices composing not
ἔληγε τῶν ἐπὶ τῆς προτέρας ἀρχῆς ἀρρητότερα, εἴγε
ceased than-the in the former rule more-unspeakable since-indeed
πάλαι μὲν τὸν μόναρχον ἐφαντάζετο, καὶ αὐτὸς εἶναι
of-old indeed the monarch he-imagined also himself to-be
ἀναιδῶς διετείνετο ὁ τῇ δυσμῇ συνάψων τὴν ἕω καὶ
shamelessly insisted the(-one) to-the west going-to-join the east and
κράτος περιζωσόμενος τὸ παγκόσμιον, τότε δὲ καὶ τὴν
sovereignty going-to-gird-on the universal then and also the
πήρωσιν ἀποτρίψασθαι προσεδόκα τῶν ὀφθαλμῶν καὶ ὡς
blindness to-rub-off he-expected of-the eyes and like
λεβηρίδα τὴν νόσον ἀποξύσασθαι τὴν ἀρθρίτιδα καὶ τὸ
slough the disease to-scrape-off the gout and the
ὅλον εἰς ἄνδρα θεοείκελον ἀμειφθήσεσθαι, ὥστε καὶ τῶν
whole into man godlike to-be-changed so-that also of-the
μοναστῶν οἱ καταρατότατοι καὶ βαθεῖ ληΐῳ κομῶντες
monks the most-accursed and with-deep crop luxuriant

τὴν τοῦ πώγωνος ἄρουραν, εἰς αἰσχύνην τε οἰκείαν τὸ
the of-the beard field to shame and own the
θεοφιλὲς οἱ θεομισεῖς περικείμενοι σχῆμα, τὰς ἀρχικὰς
God-loved the God-hated wearing habit the princely
τραπέζας μεταδιώκοντες καὶ τῶν ἰχθύων τοὺς νεαλεῖς καὶ
tables pursuing and of-the fish the fresh and
πίονας περιχαίνοντες, συνδειπνοῦντες Ἰσαακίῳ συγκαθίστων
fat gaping-for dining-with Isaac established-for
ἐκείνῳ τὴν μοναρχίαν ἐν λόγοις, τὸν ἀνθοσμίαν ζωρότερον
him the monarchy in words the fragrant-wine purer
προσφερόμενοι, ἐνίοτε δὲ καὶ τὰς ἐξηρθρωμένας χεῖρας
taking sometimes and also the disjointed hands
περιπτυσσόμενοι καὶ τοῖς ὀφθαλμοῖς αὐτὰς προσάπτοντες
embracing and to-the eyes them applying
τὴν ὅσον οὐδέπω τούτων προηγόρευον ἀνακαίνισιν καὶ
the as-much not-yet of-these foretold renewal and
κραταίωσιν. ὁ δὲ διεχεῖτο πῶς ἂν εἴποι τις τοῖς
strengthening he and was-delighted how — would-say one at-the(-things)
λεγομένοις, καὶ ἐπεσκίρτα τοῖς βωμολοχεύμασι τούτοις
said and leaped at-the buffooneries these
ὡς ἀψευδέσι θεσπιῳδήμασιν. ἐν πολλοῖς δὲ καὶ τοὺς
as infallible oracles in many(-things) and also those
τῇ ἀστρικῇ προσκειμένους προσιέμενος ἄλλα τε
to-the astral(-art) devoted admitting other(-things) and
ταῖς αὐτῶν ὑποθήκαις ὑπείκων εἰργάζετο, καὶ δὴ καὶ
to-the their counsels yielding did and indeed also
τὸν Καλυδώνιον σῦν, ὃς ἐν τῷ ἱππικῷ φρίσσων τὴν
the Calydonian boar which in the Hippodrome bristling the
ἐπινώτιον τρίχα ῥύδην φέρεται, τῆς βάσεως καθελὼν
back hair in-full-rush is-borne from-the base having-taken-down
μετήνεγκεν εἰς τὸ μέγα παλάτιον, τὸν τὴν ὁρμὴν συώδη
moved to the great palace the the impulse swinish

καὶ ἀτάσθαλον δῆμον τῆς πόλεως καταστελεῖν ἐντεῦθεν
and reckless people of-the city to-restrain thence
οἰόμενος. ἀλλὰ καὶ τῶν ἀγοραίων οἱ φιλοινότεροι τὸ
thinking but also of-the market-folk the wine-loving the
ἑστὸς ἐπὶ στήλης ἐν τῷ Κωνσταντινείῳ φόρῳ τῆς Ἀθηνᾶς
standing on column in the Constantinian forum — of-Athena
ἄγαλμα εἰς πλεῖστα διεῖλον τμήματα· ἐδόκει γὰρ τοῖς
statue into very-many divided pieces it-seemed for to-the
ἄφροσι σύρφαξιν ὑπὲρ τῶν ἐξ ἑσπέρας ἐστοιχειῶσθαι
senseless rabble for the from (the)-west to-have-been-enchanted
τοῦτο στρατῶν. ἀνέβαινε μὲν τὴν ἡλικίαν ὄρθιον ὡς ἐς
this armies it-rose indeed the stature upright as to
τριακάδα ποδῶν, ἠμφίεστο δὲ στολὴν ἐξ ὁποίας ὕλης
thirty of-feet it-was-clothed and robe of which material
ὅλον τὸ ἰνδαλλόμενον κεχαλκούργητο. ποδήρης δ' ἦν
whole the image had-been-wrought-in-bronze reaching-the-feet and was
ἡ στολὴ καὶ συμπτυσσομένη πολλαχῇ τῶν μερῶν, ὡς μή
the robe and being-folded in-many of-the parts so-that not
τι τοῦ σώματος παραφαίνοιτο ὅπερ ἡ φύσις περιστέλλειν
any of-the body might-show which the nature to-cover
ἐπέταξε. μίτρα δ' Ἄρεος τὴν ἰξὺν διειληφυῖα ἱκανῶς αὐτὴν
ordered belt and of-Ares the waist having-encircled firmly it
περιέσφιγγεν. εἶχε δὲ κἀπὶ τοῖς στέρνοις ὀρθότιτθον ὂν
bound it-had and also-on the breasts upright-breasted being
ποικίλον αἰγιδῶδες ἐπένδυμα, τῶν ὤμων διεξικνούμενον,
embroidered aegis-like over-garment from-the shoulders reaching
τὴν τῆς Γοργόνης τυποῦν κεφαλήν. ὁ δέ γε αὐχὴν
the of-the Gorgon representing head the and at-least neck
ἀχίτων ὢν καὶ πρὸς τὸ δολιχόδειρον ἀνατεινόμενος ἄμαχον
uncovered being and to the long-necked stretched irresistible
εἰς ἡδονὴν θέαμα ἦν. τοσοῦτον δ' ὁ χαλκὸς πρὸς τὴν
for pleasure sight was so-much and the bronze toward the

ἐκείνου μίμησιν πειθήνιος ὑπηλλάττετο, ὥστε καὶ τὰ χείλη
its imitation obedient was-changed so-that even the lips
δόξαν παρεῖχον ὡς εἰ προσμενεῖ τις μείλιχον φωνὴν
impression gave as if will-wait anyone gentle voice
ἐνωτίσεται. καὶ φλεβῶν δὲ διεκτάσεις ὑπεκρίνοντο, καὶ ὡς
he-will-hear and of-veins too stretchings played-the-part and as
ὑγρὸν ὅλον τὸ σῶμα ἐν οἷς ἔδει περιεκλᾶτο, καὶ ζωῆς
supple whole the body in where it-needed was-bent and from-life
ἀπέχον μετεῖχεν ὡς ζῶν ἀνθηρότητος, τοὺς ὀφθαλμοὺς
being-far it-shared as living of-bloom the eyes
ἱμέρῳ παντὶ ῥεόμενον. ἵππουρις δ' ἐπικειμένη τῇ
with-longing all flowing horsehair-crest and lying-on the
κεφαλῇ δεινὸν καθύπερθεν ἔνευεν. ἡ δὲ κόμη ἐς πλέγμα
head terribly from-above nodded the and hair into braid
διεστραμμένη καὶ δεσμουμένη ὄπισθεν, ὅση κέχυτο ἐκ
twisted and bound behind as-much-as poured from
μετώπων, τρυφή τις ἦν ὀφθαλμῶν, μὴ ἐπίπαν τῷ κράνει
foreheads delight a was of-eyes not wholly by-the helmet
συνεχομένη, ἀλλά τι καὶ παρεμφαίνουσα τοῦ πλοχμοῦ.
held-in but some also showing of-the tress
τῶν δὲ χειρῶν ἡ μὲν λαιὰ τὰ συνεπτυγμένα τῆς ἐσθῆτος
of-the and hands the indeed left the folded(-parts) of-the garment
ἀνέστελλε, ἀτέρα δ' ἐκτεινομένη πρὸς κλίμα τὸ νότιον
held-up the-other and stretched-out toward region the south
εἶχε τὴν κεφαλὴν ἠρέμα πως ἐγκλινομένην ἐκεῖ καὶ τὰς
had the head gently somehow inclining there and the
τῶν ὀφθαλμῶν ἐπ' ἴσης τεινομένας βολάς, ὅθεν οἱ μηδὲ
of-the eyes on equal directed glances whence those not-even
τὰς θέσεις τῶν περάτων ὁπωσοῦν ἐπιστάμενοι ἐς ἑσπέραν
the positions of-the ends at-all knowing to (the)-west
ἀφορᾶν τὸ ἄγαλμα διετείνοντο καὶ οἷον ἐπισπᾶσθαι
to-look the statue insisted and as-it-were to-beckon

χειρὶ τὰ ἐκ δυσμόθεν στρατεύματα, κακῶς κρίνοντες
with-hand the from (the)-west armies badly judging
καὶ μὴ πρὸς ἔννοιαν ὀρθὴν τοῖς ὁρατοῖς ἐπιβάλλοντες.
and not with understanding right the visible(-things) applying-themselves-to
Οἱ μὲν οὖν μετὰ τοιούτων κινημάτων τῆς διανοίας τὸ
they indeed then with such motions of-the mind the
τῆς Ἀθηνᾶς συνέτριψαν ἄγαλμα, ἢ μᾶλλον τοῖς χείροσιν
— of-Athena smashed statue or rather to-the worse
ἀεὶ προβαίνοντες καὶ καθ' ἑαυτῶν ὁπλῖται γινόμενοι τὴν
always advancing and against themselves armed becoming the
ἀνδρείας καὶ φρονήσεως ἐπιστάτιν κἂν τοῖς τύποις αὐτοῖς
of-courage and wisdom patroness even in-the images themselves
ἀπεώσαντο. οἱ δὲ βασιλεῖς οὐδὲν ὅτι μὴ τὴν συλλογὴν τῶν
thrust-away the and emperors nothing except — the collection of-the
χρημάτων ἔργον ἀσχολίας πάσης εἶχον καὶ πάλιν ἀνώτερον,
money (as)-work of-occupation all had and again higher
ἐπεὶ μηδὲ κόρος ἦν παρὰ τοῖς λαμβάνουσι λήψεως,
since not-even satiety was among those receiving of-taking
ἀλλ' ὅσον αἱ δόσεις προὔβαινον, τοσοῦτον ἐνήκμαζε τὸ
but as-much-as the gifts advanced so-much flourished the
φιλόχρυσον. ἀμέλει κἀκ τῶν πολιτῶν φόρων ὠδίνοντο
gold-love indeed and-from the citizens taxes were-in-labor
συλλογαί. τούτου δὲ μὴ ὁμαλῶς προχωροῦντος (ὁ γὰρ
collections this but not smoothly proceeding the for
λεώς, ὅσα καὶ πέλαγος ἀχανὲς καὶ ἀόριστον ἀνέμῳ, τοῖς μὴ
people just-as also sea vast and boundless by-wind at-the not
θυμήρεσι διαρριπιζόμενον ἐπέφρισσεν εἰς ἀπόστασιν) τῆς
pleasing fanned bristled to revolt from-the
μὲν προθέσεως ταύτης ἀπέστησαν, τοὺς δὲ ζαπλούτους
indeed purpose this they-desisted the but very-rich
ἐπιλέγδην ἐσύλησαν, ὅπως ἡ Λατινικὴ γαληνιάσειε
selectively they-despoiled that the Latin might-be-calmed

βούπεινα. καὶ τὰ χρύσεα δὲ τοῦ μεγίστου νεὼ ἔπιπλα
ox-hunger and the golden too of-the greatest temple furnishings
βαρυτάλαντα ὄντα, καὶ αἱ λυχνίαι σὺν αὐτοῖς αἱ ἀργύρεοι
very-heavy being and the lamps with them the silver
ἀφαιρούμεναι καὶ παραδιδόμεναι πυρί, πρὸς βρῶσιν ἀτεχνῶς
unchecked was-rebuked in many(-cases) and also the dagger
εἶχεν ἐπ' αὐτὸν σπώμενον ὁ καὶ μικρὸν ἀντειπὼν
had against him drawn the(-one) even little having-contradicted
ἢ πρὸς τὰ θυμήρη σφίσιν ἀναδυόμενος. ὅθεν ἦν εἰς πόνον
or at the pleasing to-them shrinking whence was in pain
ἅπασα κεφαλή, ἐν στενωποῖς θρῆνοι καὶ οὐαὶ καὶ κλαυθμοί,
every head in alleys laments and woes and weepings
ἐν τριόδοις ὀδυρμοί, ἐν ναοῖς ὀλοφυρμοί, ἀνδρῶν οἰμωγαί,
at crossroads wailings in churches lamentations of-men groans
γυναικῶν ὀλολυγαί, ἑλκυσμοί, ἀνδραποδισμοί, διασπασμοί
of-women shrieks draggings enslavings tearings-apart
τε καὶ βιασμοὶ σωμάτων συναφῶν πρότερον. οἱ τῷ
both and violations of-bodies joined before those by-the
γένει σεμνοὶ ἀτίμως περιῄεσαν, οἱ τῷ γήρᾳ γεραροὶ
birth august dishonored went-about those by-the age venerable
γοεροί, οἱ πλούσιοι ἀνούσιοι. οὕτως ἐν πλατείαις, οὕτως
mournful the rich without-substance thus in squares thus
ἐν γωνίαις, οὕτως ἐν τεμένεσιν, οὕτως ἐν καταδύσεσιν·
in corners thus in precincts thus in hiding-places
οὐδὲ γὰρ ἦν τις τόπος ἀνεξερεύνητος ἢ ἀσυλίαν τοῖς
not for was any place unsearched or sanctuary to-those

προσρυομένοις παρεχόμενος, ἀλλὰ πάντα πανταχοῦ πάντων
taking-refuge offering but all everywhere of-all
κακῶν ἔμπλεα ἦν. Χριστὲ βασιλεῦ τῆς τότε θλίψεως καὶ
evils full was Christ king for-the then affliction and
τῆς συνοχῆς τῶν ἀνθρώπων! ὁ δ' ἦχος ὁ θαλάττιος,
the distress of-the people the and roaring the of-the-sea
ὁ δὲ τοῦ ἡλίου σκοτασμὸς καὶ ἡ ζόφωσις, ἡ δὲ τῆς
the and of-the sun darkening and the gloom the and of-the
σελήνης εἰς αἷμα μεταστροφή, οἱ δὲ τῶν ἀστέρων ἔξεδροι,
moon to blood turning the and of-the stars wanderings
ὅπῃ καὶ ὅπως οὐ τὰ τελευταῖα τάδε κακὰ προεσήμηναν;
where and how not the last these evils foretold
καίτοι τὸ βδέλυγμα τῆς ἐρημώσεως τεθεάκαμεν ἑστὼς
and-yet the abomination of-the desolation we-have-seen standing
ἐν τόπῳ ἁγίῳ καὶ πορνικὰ στρογγυλίζον λογάρια, καὶ
in place holy and harlot's rounding phrases and
τἆλλα κἂν μὴ ἐπίπαν, ἀλλ' ἐκ τοῦ δῆθεν μεταβάντα
the-rest even-if not altogether but from the supposed having-passed
πρὸς τὸ ἀντίστροφον, ὅσα παρὰ Χριστωνύμοις σεμνὰ
to the opposite as-many-as among Christ-named august
καὶ τὸν τῆς πίστεως λόγον ἐξευγενίζοντα.
and the of-the faith doctrine ennobling
Τοιαῦθ', ὡς ἐκ πολλῶν βραχέα δοῦναι τῇ ἱστορίᾳ,
such as from many few to-give to-the history
οἱ ἐξ ἑσπέρας στρατοὶ κατὰ τῆς Χριστοῦ κληρονομίας
the from (the)-west armies against the of-Christ inheritance
παρηνομήκασιν, ἐπ' οὐδενὶ τῶν ὅλων τὸ φιλάνθρωπον
have-transgressed toward none of-the whole the kindness
ἐνδειξάμενοι, ἀλλὰ πάντας ἀποξενώσαντες χρημάτων καὶ
having-shown but all having-estranged from-money and
κτημάτων οἰκημάτων τε καὶ ἐσθημάτων, καὶ μηδενὸς τῶν
possessions dwellings both and clothes and nothing of-the

πάντων μεταδόντες τοῖς ἔχουσι, ταῦτα ὁ χαλκοῦς
all having-shared with-those having these(-things) the brazen
αὐχήν, ἡ ἀλαζὼν φρήν, ἡ ὀρθὴ ὀφρύς, ἡ ἀεὶ ξυριῶσα
neck the boastful mind the raised brow the ever shaven
καὶ νεανισκευομένη παρειά, ἡ φιλαίματος δεξιά, ἡ
and youth-aping cheek the bloodthirsty right(-hand) the
ἀκρόχολος ῥίν, ὁ μετέωρος ὀφθαλμός, ἡ ἄπληστος γνάθος,
quick-tempered nose the lofty eye the insatiable jaw
ἡ ἄστοργος γνώμη, ἡ τορὴ καὶ τροχαλὴ λαλιὰ καὶ μόνον
the loveless mind the piercing and running speech and all-but
οὐκ ἐπορχουμένη τοῖς χείλεσι, μᾶλλον δὲ οἱ παρ' ἑαυτοῖς
— dancing on-the lips rather and those by themselves
ἐπιστήμονες καὶ σοφοί, οἱ εὔορκοι καὶ φιλαλήθεις καὶ
learned and wise the faithful-to-oaths and truth-loving and
μισοπόνηροι καὶ τῶν Γραικῶν ἡμῶν εὐσεβέστεροί τε
evil-hating and than-the Greeks us more-pious both
καὶ δικαιότεροι καὶ τῶν Χριστοῦ διαταγμάτων φύλακες
and more-just and of-the of-Christ commands guardians
ἀκριβέστεροι, τὸ δὲ πλέον, οἱ τὸν σταυρὸν ἐπ' ὤμων
more-exact the and more those the cross on shoulders
ἀράμενοι, καὶ πολλάκις κατὰ τούτου καὶ τῶν θείων
having-taken-up and often by this and the divine
λογίων ἐπομοσάμενοι τὰς μὲν τῶν Χριστωνύμων χώρας
sayings having-sworn the indeed of-the Christ-named lands
παρελθεῖν ἀναιμωτί, μὴ προσνεύσαντες ἀριστερὰ μηδ'
to-pass bloodlessly not having-inclined left nor
ἐκκλίναντες δεξιά, κατὰ δὲ Σαρρακηνῶν ὁπλίσαι τὰς
having-turned right against and (the)-Saracens to-arm the
χεῖρας καὶ τὰ ξίφη πορφυρῶσαι τοῖς αἵμασιν οἳ τὴν
hands and the swords to-redden with-the blood who —
Ἱερουσαλὴμ ἐξεπόρθησαν, μηδ' ἀνδρίσασθαι γυναιξὶν ἢ καθ'
Jerusalem sacked nor to-play-the-man with-women or for

ὁμιλίαν αὐταῖς συνελθεῖν ἐφ᾽ ὅσον ἂν χρόνον τὸν σταυρὸν
intercourse with-them to-come-together for as-long — time the cross
ἐπωμάδιον φέρωσιν, ὡς ἡγνισμένοι θεῷ καὶ τὴν αὐτοῦ
on-shoulder they-bear as purified to-God and the his
πορείαν στελλόμενοι. ὄντως λογοποιοὶ ἐξεφάνθησαν, καὶ τοῦ
journey making truly tale-tellers were-shown and of-the
θείου τάφου διφῶντες ἐκδίκησιν κατὰ Χριστοῦ προδήλως
divine tomb seeking vengeance against Christ openly
ἐλύττησαν, καὶ μετὰ σταυροῦ τὴν τοῦ σταυροῦ κατάλυσιν
raged and with cross the of-the cross destruction
ἠνομήκασιν, ὃν ἐπινώτιον ἔφερον, τοῦτον πρὸ ποδῶν
they-have-transgressed which on-back they-bore this before feet
τιθέναι μὴ φρίττοντες διὰ χρυσίον βραχὺ καὶ ἀργύριον.
to-put not shuddering for gold little and silver
καὶ μαργαρίτας ἐγκολπιζόμενοι, τὸν πολύτιμον μαργαρίτην
and pearls pocketing the precious pearl
Χριστὸν ἠθετήκασι, τοῖς ἐναγεστάτοις τῶν ζώων τὸν
Christ they-have-set-at-naught to-the most-accursed of-the animals the
παναγέστατον διασπείραντες. οἱ δ᾽ ἐξ Ἰσμαὴλ οὐχ οὕτως,
all-holy having-scattered those but from Ishmael not thus
ὅτι μὴ καὶ πάνυ φιλανθρώπως καὶ προσηνῶς τοῖς ἐκ
except — also very kindly and gently to-those from
τοῦ γένους αὐτῶν προσηνέχθησαν, τῆς Σιὼν κατισχύσαντες.
the race their behaved — of-Zion having-prevailed
οὔτε γὰρ γυναιξὶ Λατινίσιν ἐπεχρεμέτισαν, οὔτε τὸ Χριστοῦ
neither for at-women Latin neighed nor the of-Christ
κενήριον πολυάνδριον πεσόντων ἔδειξαν, οὐδὲ κάθοδον
cenotaph mass-grave of-fallen made nor descent
ἐς ᾅδου τὴν πρὸς τὸν ζωηφόρον τάφον εἴσοδον, οὐδὲ
to of-Hades the to the life-bearing tomb entrance nor
θάνατον τὴν ζωήν, οὐδὲ πτῶσιν τὴν ἀνάστασιν, ἁπαξάπασι
death the life nor fall the resurrection to-all

δ᾽ ἀνέντες τὴν ἔξοδον χρυσίνοις ἀριθμῷ κατ᾽ ἄνδρα
and having-granted the exit with-gold-coins in-number per man
βραχέσιν ἀφώριζον τὰ ζωάγρια, τὰ λοιπὰ τοῖς κεκτημένοις
few they-fixed the ransom the rest to-the owners
παρέντες, κἂν ψάμμῳ ἦσαν παρόμοια. καὶ τοιῶσδε μὲν
having-left even-if to-sand they-were like and thus indeed
τὸ Χριστομάχον τοῖς ἀλλοπίστοις Λατίνοις ἐχρήσατο, μὴ
the Christ-fighting(-race) the of-other-faith Latins treated not
ξίφος, μὴ πῦρ, μὴ λιμόν, μὴ διωγμόν, μὴ γυμνότητα, μὴ
sword not fire not hunger not persecution not nakedness not
συντρίμματα, μὴ πιέσματα μεγαλοψύχως σφίσιν ἐπενεγκόν·
bruises not oppressions magnanimously on-them having-brought
ἡμῖν δ᾽ ἐκείνως τὸ φιλόχριστον καὶ ὁμόδοξον προσενήνεκται,
us and thus the Christ-loving and same-believing has-treated
ὡς ἐπιτρέχοντες εἴπομεν, μηδὲ ἐπεγκαλεῖν ἀδίκημα ἔχοντες.
as running-through we-said not-even to-charge wrong being-able

V · LAMENT FOR THE CITY

Choniates laments the City, the eye of all cities, in the words of Jeremiah and the prophets: once robed in purple, now a sooty old woman mocked by peoples she raised, she waits for a new Moses or Zerubbabel to gather her scattered children. Her exiles circle her like sparrows whose nest is scattered, hungry, cold, and lousy; like animals that see their mates through glass and cannot touch them, they can see the City but are kept from it by the barbarians.

Ὦ πόλις, πόλις, πόλεων πασῶν ὀφθαλμέ, ἄκουσμα
O city city of-cities all eye hearing
παγκόσμιον, θέαμα ὑπερκόσμιον, ἐκκλησιῶν γαλουχέ,
universal sight above-the-world of-churches nurse
πίστεως ἀρχηγέ, ὀρθοδοξίας ποδηγέ, λόγων μέλημα, καλοῦ
of-faith leader of-orthodoxy guide of-letters care of-good

παντὸς ἐνδιαίτημα! ὦ ἡ ἐκ χειρὸς κυρίου τὸ
every dwelling O the(-one) from hand of-(the)-Lord the
τοῦ θυμοῦ πιοῦσα ποτήριον, ὦ ἡ γενομένη πυρὸς
of-the wrath having-drunk cup O the(-one) having-become of-fire
μερὶς πολλῷ δραστικωτέρου τοῦ καταιβασίου πάλαι
portion much more-active than-the descending of-old
πυρὸς πενταπόλεως, τί μαρτυρήσω σοι; τίνι ὁμοιώσω
fire of-(the)-Pentapolis what shall-I-testify to-you to-what shall-I-liken
σε; ὅτι ἐμεγαλύνθη ποτήριον συντριβῆς σου, Ἱερεμίας
you that was-made-great cup of-breaking your Jeremiah
φησὶν ὁ φιλόδακρυς τὴν πάλαι Σιὼν κοπτόμενος. τίνες
says the tear-loving the of-old Zion lamenting what
κακοποιοὶ δυνάμεις ᾐτήσαντό σε καὶ ἔλαβον εἰς συνίασιν;
evil-working powers asked-for you and received for sifting
τίνες ἀλάστορες φθονεροὶ καὶ ἀμείλικτοι δαίμονες κῶμόν
what avengers envious and implacable demons revel
σοι ἐπεκώμασαν ἄγριον; ἢ γοῦν ἀνάρσιοι καὶ
against-you held savage or at-any-rate hostile and
μανιώδεις Τελχῖνες παστάδα μὲν οὐκ ἐπλέξαντο, οὐδ᾽
frenzied Telchines bridal-chamber indeed not wove nor
ἀνῆψάν σοι δᾶδα γαμήλιον, ἀφανιστηρίους δ᾽ ἀνέκαυσαν
lit for-you torch nuptial destroying but kindled
ἄνθρακας; ὦ ἡ πολύγονος καὶ βύσσον καὶ πορφύραν
coals O the(-one) many-childed and linen and purple
ἠμφιεσμένη βασίλειον, πιναρὰ δ᾽ ἀρτίως καὶ αὐχμηρά,
clothed royal squalid but now and parched
καὶ πολλῶν κακῶν κληροῦχος, καὶ τέκνων τῶν γνησίων
and of-many evils heir and of-children the own
χατίζουσα. ὦ ἡ πρώην ὑψίθρονος καὶ βιβῶσα μακρὰ
bereft O the(-one) formerly high-throned and striding long
καὶ μετέωρα, μεγαλοπρεπὴς τὸ εἶδος, ἀξιοπρεπεστέρα
and lofty magnificent the look more-dignified

τὸ μέγεθος, νυνὶ δὲ κατερραγμένη καὶ διερρηγμένη τοὺς
the stature now but torn and having-rent the
χλιδῶντας χιτῶνας καὶ τὰ κομψὰ καὶ ἀρχικὰ κρήδεμνα,
luxurious tunics and the elegant and royal veils
καὶ ὄμμα ἀπεσβεσμένη τὸ χαροπόν, καὶ γρηΐ καμινοῖ
and eye extinguished the bright and old-woman furnace-tending
ἴση ἐκ τοῦ κατησβολῶσθαι πυρί, καὶ ῥυτίσι χαλαραῖς
equal from the to-have-been-sooted by-fire and with-wrinkles slack
ηὐλακισμένη τὴν στιλπνὴν καὶ τερπνὴν ὄψιν πρότερον.
furrowed the shining and delightful face before
ἐῶ γὰρ λέγειν τοὺς πρὸς λύραν ἐντείνοντάς τε καὶ
I-pass-over for to-say those to lyre setting-to-music both and
ψάλλοντας τὰ σὰ δυσπραγήματα, καὶ κωμῳδίαν τιθεμένους
playing the your misfortunes and comedy making
τὴν σὴν τραγῳδίαν ἐν τῷ τὸν οἶνον προσίεσθαι, καὶ
the your tragedy in the the wine drinking and
βίου τέχνην ποιουμένους τὴν γελοιώδη τῶν κακῶν σου
of-life trade making the laughable of-the evils your
ἀφήγησιν, τοὺς κονδυλισμούς τε καὶ πτερνισμούς, ἔτι δὲ
recounting the knuckle-blows both and heel-trippings still and
τὰς ἀθετήσεις καὶ τὰ ὑπώπια ἅ σοι καθ' ὥραν πᾶσαν
the scorns and the black-eyes which on-you at hour every
προστρίβονται. παρεζηλωμένη θεόθεν ἐπὶ μὴ ἐχέφροσιν
they-rub-in provoked-to-jealousy by-God over not sensible
ἔθνεσιν, ἢ οὐδ' ἔθνεσιν ἀληθῶς εἰπεῖν, ἀλλ' ἀμυδροῖς καὶ
nations or not-even nations truly to-say but obscure and
σποραδικοῖς γένεσιν, ὧν τὰ πλείω εἰ μὴ ἐγέννησας,
scattered races of-which the most if not you-bore
ἀλλ' ὕψωσάς τε καὶ στέατος πυροῦ μετέδωκας, τίς σώσει
but you-raised both and of-fat of-wheat gave-share who will-save
σε; ἢ τίς παρακαλέσει σε; τίς φείσεται ἐπὶ σοί; ἢ τίς
you or who will-comfort you who will-spare over you or who

σκυθρωπάσει ἐπὶ σοί; ἢ τίς ἐπανακάμψει ἐρωτῆσαι τὰ
will-grieve over you or who will-turn-back to-ask the(-things)
εἰς εἰρήνην σοι (Ἱερεμίου καὶ τάδε τοῦ πολυθρηνήτου
for peace for-you of-Jeremiah also these of-the much-lamenting
τὰ ῥήματα), εἴτε μὴν τὴν προτέραν στολὴν ἐπενδύσει σε;
the words or indeed the former robe will-put-on you
πότε θεόθεν ἐνωτίσῃ ἐξεγείρου, ἀνάστηθι ἡ πιοῦσα
when from-God will-you-hear awake arise the(-one) having-drunk
τὸ ποτήριον τοῦ θυμοῦ μου καὶ τὸ κόνδυ τῆς πτώσεως.
the cup of-the wrath my and the beaker of-the fall
ἔνδυσαι τὴν ἰσχύν σου, ἔνδυσαι τὴν δόξαν σου. ἐκτίναξαι
put-on the strength your put-on the glory your shake-off
τὸν χοῦν καὶ ἀνάστηθι. ἔκδυσαι τὸν δεσμὸν τοῦ τραχήλου
the dust and arise put-off the bond of-the neck
σου· πλάτυνον τὸν τόπον τῆς σκηνῆς σου καὶ τῶν
your widen the place of-the tent your and of-the
αὐλαιῶν σου. μὴ φοβοῦ ὅτι κατῃσχύνθης, μηδὲ ἐντραπῇς
curtains your not fear because you-were-shamed nor be-confounded
ὅτι ὠνειδίσθης, καὶ ἐκρότησαν ἐπὶ σοὶ χεῖρας πάντες
because you-were-reproached and clapped over you hands all
οἱ παραπορευόμενοι ὁδόν, ἐσύρισαν καὶ ἐκίνησαν κεφαλὰς
those passing-by road hissed and shook heads
αὐτῶν, καὶ εἶπον „αὕτη ἐστὶν ἡ πόλις, ὁ στέφανος δόξης
their and said this is the city the crown of-glory
καὶ ἡ εὐφροσύνη πάσης τῆς γῆς. καὶ πῶς ἐκάθισε χήρα
and the joy of-all the earth and how sat widow
ἡ πεπληθυσμένη λαῶν; καὶ ἡ ἄρχουσα ἐν
the(-one) filled with-peoples and the(-one) ruling among
χώραις ἐγεννήθη εἰς φόρους.“ εἶπε γὰρ ὁ θεός σου „χρόνον
lands became into tributes said for — God your time
μικρὸν κατέλιπόν σε, καὶ μετ᾽ ἐλέους μεγάλου οἰκτειρήσω
little I-left you and with mercy great I-will-pity

σε. ἐν θυμῷ μικρῷ ἀπέστρεψα τὸ πρόσωπόν μου, καὶ
you in wrath little I-turned-away the face my and
ἐν ἐλέῳ αἰωνίῳ ἐλεήσω σε." ἢ γοῦν ᾄσεις
in mercy everlasting I-will-have-mercy-on you or at-any-rate you-will-sing
Δαβιδικῶς πρὸς θεὸν „κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν
in-David's-way to God according-to the multitude of-the pains
μου ἐν τῇ καρδίᾳ μου αἱ παρακλήσεις σου εὔφραναν τὴν
my in the heart my the consolations your gladdened the
ψυχήν μου." τίς ἐπιστήσεταί σοι Μωϋσῆς καινουργός, ἢ
soul my who will-stand-over you Moses innovating or
ἐπανάγων ἐποφθήσεται Ζοροβάβελ; πότε δ' ἐσεῖταί σοι
bringing-back will-be-seen Zerubbabel when and will-it-be for-you
ἐκ τῶν τεσσάρων ἀνέμων συναγαγεῖν τὰ τέκνα σου,
from the four winds to-gather the children your
ἐν οἷς διεσπάρημεν, ὃν τρόπον αἱ φιλότεκνοι ὄρνιθες
in which we-were-scattered which manner the child-loving birds
ὑπὸ τὰς ἑαυτῶν ἀθροίζουσι πτέρυγας τὰ οἰκεῖα νεόττια.
under the their-own gather wings the own chicks
ὡς νῦν γε οὐδ' ἐνωπίως σοι ἐποφθαλμῆσαι καθαρῶς
as now at-least not-even face-to-face at-you to-look clearly
ἔχομεν, οὐδ' ἐμφῆναι περιχαρῶς ὡς μητρί, καὶ ἀκριβῶς
we-can nor to-show gladly as to-mother and exactly
ἐπισπεῖσαί σοι δάκρυον ὅσον ὀφθαλμὸς βούλεται ἢ
to-pour-out to-you tear as-much-as eye wishes or
δύναται, ἀλλ' εὐλαβῶς ὡς στρουθοί σε περιπτάμενοι, ὧν
can but cautiously like sparrows you flying-around whose
συνείληπται ἡ τροφὸς ἡ δὲ καλιὰ διεσκέδασται, ἐλεεινόν
has-been-caught the nurse the and nest has-been-scattered pitiful
τι καὶ γοῶδες περιτρύζομεν, πόρρω που τῶν
something and mournful we-twitter far somewhere from-the
σῶν φατνωμάτων ἐκτοπισθέντες, πεινῶντες καὶ διψῶντες,
your ceilings removed hungering and thirsting

αὐχμῶντες καὶ ῥιγῶντες, καὶ πρὸς φθειρῶν πολλάκις
parched and shivering and by lice often
κειρόμενοι, καὶ τὰς ψυχὰς ἐν κακοῖς τηκόμενοι, ὁδόν τε
being-shorn and the souls in evils melting road and
μηκέτι κατοικεσίας εὑρίσκοντες πόλεως, ἀλλὰ πολύπλαγκτοι
no-longer of-dwelling finding of-city but much-wandering
φερόμενοι ὡς ὄρνιθες οἱ ἀβέβαιοι καὶ τῶν ἀστέρων οἱ
being-borne like birds the unsteady and of-the stars the
πλάνητες. ἢ καὶ οὕτως εἰπεῖν, ἑνούμεθά σοι διῃρημένως
wandering or also thus to-say we-are-united to-you dividedly
καὶ συμπλεκόμεθά σοι κεχωρισμένως, κατὰ τοὺς ψυχῇ
and we-are-entwined with-you separately like those in-soul
συναπτομένους καὶ διισταμένους σώματι, καὶ προσπάσχομεν
joined and parted in-body and we-suffer
ἀτεχνῶς ὃ καὶ ἔνια τῶν ζώων πρὸς τὰ παγιδευόμενα
simply which also some of-the animals toward the(-ones) being-snared
ἐκ σφῶν ὑπὸ θηρευτῶν καὶ ἐγκλειόμενα διαφανέσιν
from them by hunters and shut-in in-transparent
ὑελίνοις ἄγγεσιν. ἐκεῖνά τε γὰρ τῷ τοῦ σκεύους εἰλικρινεῖ
glass vessels those both for by-the of-the vessel purity
καὶ στιλπνῷ τὴν τοῦ συννόμου ζώου θέαν ἐνοπτριζόμενα
and brightness the of-the fellow animal sight mirroring
συμμῖξαι καὶ ἐν χρῷ γενέσθαι ὅλως ἀδυνατεῖ, καὶ διὰ
to-mingle and in skin to-come wholly is-unable and because-of
τοῦτο μάτην περὶ τὸ ἄγγος ἀδημονοῦντα στρέφεται,
this vainly around the vessel distressed turns
τῷ ἐξηλλαγμένῳ τῆς ὄψεως ὡς ἀπεναντίῳ τῆς πρώην
at-the changed of-the sight as opposite of-the former
ἕξεως ἐκθαμβούμενα· καὶ ἡμεῖς ἐπ᾽ ἴσης σοι τὰς μὲν
state astonished and we on equal to-you the indeed
ὄψεις προσβάλλειν καὶ ἐγγύτερον ἰέναι ἔχομεν, τοῦ δὲ
eyes to-turn and nearer to-go we-can from-the but

περιχυθῆναί σοι γνησίως καὶ προσπλακῆναι θαρραλέως
to-be-poured-around you truly and to-cling boldly
ὡς πρότερον παντάπασιν ἐστερήμεθα, ὅσα καὶ σώματι
as before altogether we-have-been-deprived just-as also by-body
στερεῷ καὶ πολλῷ στεγανωτέρῳ ὑέλου τῷ βαρβαρικῷ
solid and much more-impervious than-glass by-the barbarian
συντάγματι διειργόμενοι.
band being-separated

VI · THE HISTORIAN FALLS SILENT

A prayer in Scripture's words asks God to turn his people back to him. Choniates' speech fails him with the City: as Hippocrates would not heal the Persians, he will not grace barbarian victories over Greeks with history, and he lets the Latins go nameless like the burner of the temple of Artemis. God, who strikes and heals, uses such scourges as a physician uses drugs and then discards them; the disaster is a chastening, not a divorce, and the Romans must sing with David as they wait for mercy.

Ἵνα τί ἔπαισας ἡμᾶς, κύριε, καὶ οὐκ ἔστιν ἡμῖν ἴασις;
for what have-you-struck us Lord and not is for-us healing
ἔγνωμεν, κύριε, ἁμαρτίας ἡμῶν, ἀδικίας πατέρων ἡμῶν.
we-know Lord sins our wrongs of-fathers our
κόπασον διὰ τοῦ ἐλέους σου, μὴ ἀπολέσῃς θρόνον δόξης
cease through the mercy your not destroy throne of-glory
σου. παίδευσον ἡμᾶς, κύριε, ὅπως μὴ ἀποστῇ ἡ ψυχὴ
your chasten us Lord that not depart the soul
ἡμῶν ἀπὸ σοῦ, πλὴν ἐν κρίσει καὶ μὴ ἐν θυμῷ, ἵνα μὴ
our from you however in judgment and not in wrath that not
ὀλιγοστοὺς ποιήσῃς ἡμᾶς. ἔκχεον τὸν θυμόν σου ἐπὶ τὰ
fewest you-make us pour-out the wrath your on the

ἔθνη τὰ μὴ εἰδότα σε, καὶ ἐπὶ γενεὰς αἳ τὸ ὄνομά
nations the not knowing you and on generations which the name
σου κύριε οὐκ ἐπεκαλέσαντο. πατὴρ ἡμῶν σὺ εἶ, κύριε·
your Lord not called-on father our you are Lord
ἡμεῖς πηλός, καὶ σὺ πλάστης ἡμῶν, ἔργον τῶν χειρῶν
we clay and you molder our work of-the hands
σου πάντες ἡμεῖς. ἐπίβλεψον, καὶ ἴδε τοὺς ὀνειδισμοὺς
your all we look-upon and see the reproaches
ἡμῶν. ἡ κληρονομία ἡμῶν μετεστράφη εἰς ἀλλοτρίους,
our the inheritance our was-turned to strangers
οἱ οἶκοι ἡμῶν εἰς ξένους. ἐπίστρεψον ἡμᾶς πρὸς σέ,
the houses our to foreigners turn us to you
καὶ ἐπιστραφησόμεθα. ἀνακαίνισον ἡμέρας ἡμῶν καθὼς
and we-shall-be-turned renew days our as
ἔμπροσθεν. χρηστέον γάρ μοι ἐπικαίρως καὶ ἐφ' ὁμοίοις
before (one)-must-use for by-me fittingly also upon like
τοῖς συναντήμασι τοῖς γραφικοῖς τοῖσδε ῥήμασιν.
the events the scriptural these words
Ἀλλ' ἤδη μοι καὶ τὸ λέγειν αὐτὸ ἐπιλέλοιπεν, ὅσα
but already me also the to-speak itself has-failed just-as
καὶ σῶμα συμφυὲς ψυχῇ καὶ ὁμόστολον τῇ τοῦ λόγου
also body grown-with soul and companion to-the of-the speech
σοι τροφῷ πόλει συναπιόν τε καὶ συνθανόν. κωφοῖς
to-you nurse city departing-with both and dying-with with-mute
τοίνυν δάκρυσι καὶ στεναγμοῖς ἀλαλήτοις τὰ πολλὰ τῶν
therefore tears and groans unutterable the many of-the
θρηνημάτων ἀφοσιωτέον, καὶ τοῦ περαιτέρω ἀφεκτέον
laments (one)-must-discharge and from-the further (one)-must-abstain
τῆς ἱστορίας εἱρμοῦ. τίς γὰρ ἀνάσχοιτ' ἂν ἐπὶ γῆς
of-the history sequence who for would-endure — in land
ἀλλοτριωθείσης ἤδη τοῦ λόγου καὶ βαρβαρωθείσης
estranged already from-the speech and barbarized

τέλεον τὰ Μουσῶν ἐπιδείκνυσθαι κρούματα; οὐκ ἂν
wholly the of-(the)-Muses to-display strains not —
ᾄσαίμην τὰ βαρβάρων αὐτός, οὐδ' ἐσοίμην παραπέμπων
I-would-sing the of-barbarians myself nor I-would-be transmitting
τοῖς ἔπειτα πράξεις πολεμικὰς ἐν αἷς μὴ νικῶσιν Ἕλληνες.
to-those after deeds warlike in which not win Greeks
εἰ γὰρ ὁ Κῷος Ἱπποκράτης πολλοῖς μεταπεμπόμενος
if for the Coan Hippocrates with-much being-summoned
χρήμασι πρὸς τοῦ τότε Περσῶν βασιλεύοντος, ὡς ἂν
money by the then of-(the)-Persians reigning that —
τὰς ὑπ' ἐκεῖνον ἐπισκέψαιτο πόλεις κακῶς πασχούσας
the under him might-visit cities badly suffering
νοσηλείᾳ σώματος, οὐδ' ἄκροις ὠσὶ τὰς ὑπερόγκους
from-disease of-body not-even with-tips-of ears the huge
ὑποσχέσεις ἠνέξατο δέξασθαι, ἔρρειν καὶ οἰμώζειν τοὺς
promises endured to-receive to-go-hang and to-howl the
βαρβάρους ἀφείς, πῶς ἂν εἴην ἐγὼ τὸ βέλτιστον
barbarians having-let how — would-be I the best
χρῆμα, τὴν ἱστορίαν, καὶ κάλλιστον εὕρημα τῶν Ἑλλήνων
thing the history and finest invention of-the Greeks
βαρβαρικαῖς καθ' Ἑλλήνων πράξεσι χαριζόμενος; ἀλλ'
to-barbarian against Greeks deeds granting but
οὗτοι μὲν κατὰ τὸν ἐμπρήσαντα τὸν ἐν Ἐφέσῳ ναὸν
these indeed like the having-burned the in Ephesus temple
τῆς Ἀρτέμιδος οἰχέσθωσαν ἄϊστοί τε καὶ ἄπυστοι, μηδὲ
— of-Artemis let-them-go unseen both and unheard-of nor
προσρήματος γοῦν τινὸς ὑφ' ἡμῶν ἀξιούμενοι, ἕως
of-mention at-any-rate any by us being-deemed-worthy until
οὗ παρέλθοι ἡ ἀνομία κἀπὶ τοῖς δούλοις αὐτοῦ τὸ θεῖον
which may-pass the lawlessness and-over the servants his the divine
παρακληθήσεται. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ὁ θεὸς ἡμῶν
will-be-comforted not for is not is — God our

εἰς τέλος ἐπιληθόμενος, ἢ συνέχων ἐν τῇ ὀργῇ αὐτοῦ τοὺς
to (the)-end forgetting or holding-in in the anger his the
οἰκτιρμοὺς αὐτοῦ μηδὲ προστιθεὶς τοῦ εὐδοκῆσαι ἔτι, ἀλλὰ
compassions his nor adding of-the to-be-pleased still but
πατάσσων ἰᾶται καὶ θανατῶν ἐπιστρέφων ζωοποιεῖ. ἂν
striking heals and killing turning-back gives-life if
ὀδόντας θηρίων ἐπαποστελῇ μετὰ τοῦ θυμοῦ συρόντων
teeth of-beasts he-sends with the wrath of-creeping(-things)
ἐπὶ τῆς γῆς, ἀλλὰ καὶ τὰς μύλας τῶν λεόντων συνθλᾷ
on the earth but also the molars of-the lions he-crushes
καὶ τὴν κεφαλὴν συντρίβει τοῦ δράκοντος. ἂν ὡς κάλαμον
and the head shatters of-the dragon if like reed
διαθλᾷ, καὶ τοῖς θηρίοις τοῦ καλάμου ἐπιτιμᾷ. ἂν οὗτοι
he-crushes and the beasts of-the reed rebukes if these
ἐν ἅρμασι καὶ οὗτοι ἐν ἵπποις, ἀλλὰ ψευδὴς ἵππος εἰς
in chariots and these in horses but false horse for
σωτηρίαν, οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ.
safety nor in the legs of-the man he-takes-pleasure
εἰ δείκνυσι τῷ οἰκείῳ λαῷ σκληρὰ καὶ οἶνον κίρνησι
if he-shows to-the own people hard(-things) and wine mixes
κατανύξεως, ἀλλ' ἑτοιμάζει καὶ τράπεζαν ἐξ ἐναντίας
of-stupor but prepares also table from opposite
τῶν θλιβόντων, καὶ προτείνει ποτήριον φιλανθρωπίας
of-those afflicting and offers cup of-kindness
πλῆρες καὶ ἱλαρότητος καὶ μεθύσκον ὡς κράτιστον. εἰ τοὺς
full and of-cheer and intoxicating as best if the
μαστιγοῦντας ἐκ περάτων ἄγει τῆς γῆς καὶ τῶν ἐν
scourgers from ends he-brings of-the earth and of-those in
θαλάσσῃ μακράν, καὶ διὰ προφήτου βοᾷ μεγαλοκήρυκος
sea far and through prophet cries great-heralding
„γίγαντες ἔρχονται πληρῶσαι τὸν θυμόν μου, χαίροντες
giants come to-fulfill the wrath my rejoicing

ἅμα καὶ παίζοντες ἡγιασμένοι εἰσί, καὶ ἄγω αὐτούς,"
at-once and playing sanctified they-are and I-lead them
ἀλλὰ καὶ τούτοις ἐπιτείνει σφοδροτέρας πληγὰς καὶ τῶν
but also on-these he-lays-on more-violent blows and than-the
κακῶν μαστίζει τοῖς χείροσι, χάριν εἰδὼς οὐδαμῶς
bad(-things) scourges with-the worse thanks knowing in-no-way
οὐδεμίαν, εἰ χρῆται τούτοις ὀργάνοις εἰς ὄλεθρον πόλεων
any if he-uses these instruments for destruction of-cities
καὶ κακοῖς ἐπιδημίοις καὶ δημίοις ἀνθρώπων ἀνελεήμοσιν,
and evil visitors and executioners of-men merciless
εἴτε μὴν ὡς νοσηλεῖαι καὶ φάρμακα συναίρονταί οἱ ἐν
or indeed as treatments and drugs help him in
πλείστοις ὡς ψυχῶν ἰατρῷ, οἷς καὶ φύσις τοιάδε τις
very-many(-cases) as of-souls physician in-which also nature such a
ἔνεστι τοῖς ἐπιστήσασι πρόδηλος. καχεξίαι μὲν γὰρ ἢ
is-present to-those having-attended evident diseases indeed for either
τοῦ κάμνοντος ἀναρρωσθέντος ἐκμαρανθεῖσαι τοῦ δρᾶν
the sick having-recovered having-withered from-the to-act
ἔληξαν ἢ τῷ πάσχοντι συνδιόλλυνται· τὰ δ' ἀκεσίνοσα
ceased or with-the sufferer perish-together the but disease-healing
φάρμακα τὸ καχεκτοῦν ὁτεδήποτε ἰασάμενα ταῖς τῶν
drugs the ailing whenever having-healed with-the of-the
ὑλῶν ἀτιμοτέραις συμπρόεισιν ἀχρειούμενα. χρῆναι τοίνυν
materials more-worthless go-forth-together being-made-useless to-be-needful therefore
φημὶ μὴ βιβλίον ἀποστασίου πρὸς θεοῦ δεδομένον ἡμῖν
I-say not bill of-divorce from God given to-us
ἢ γοῦν τῶν ἀγριελαίων βαρβάρων παντελῆ ἐγκέντρισιν
or at-any-rate of-the wild-olive barbarians complete grafting
εἰς τὴν καθ' ἡμᾶς καλλιέλαιον τὰ ἐπιόντα οἴεσθαι δεινά,
into the of us cultivated-olive the coming to-think dangers
ἀλλὰ παιδείαν μικράν, ὁποίαν ἴσησιν ἐπάγειν θεός, ἀνιεὶς
but chastening small such-as knows to-bring God relaxing

τοῦ ἄγαν μηδ' ἐνδιδοὺς τὰ πάντα τοῖς πειρασταῖς,
from-the excess nor giving-up the all to-the testers
ἀλλὰ καὶ τῶν πειραζομένων ἐν μέρει φειδόμενος, καὶ
but also the tested in part sparing and
μάλιστα εἰ τὸ μὲν δρῶν, κόρον οὐκ εἰδὸς ἀνοσιουργίας,
especially if the indeed doing satiety not knowing of-impiety
καὶ αὐτοῦ κατεπαίρεται δι' ἀσέβειαν παρ' οὗ τὴν
even him rises-against because-of irreverence from whom the
ἰσχὺν εἰλήφει τοῦ μαστιγοῦν, ὡς μὲν Ναβουζαρδὰν
strength it-had-received of-the to-scourge as indeed Nebuzaradan
ἀρχιμάγειρος τὴν τοῦ θεοῦ πόλιν παραπέμπων πυρὶ καὶ
chief-cook the — of-God city sending to-fire and
τὰ λειτουργικὰ σκεύη προνομεύων, ὡς δὲ Βαλτάσαρ
the liturgical vessels plundering as and Belshazzar
τρυφῶν ἐν αὐτοῖς θυσιαστήριά τε καθυβρίζων, τὰ δὲ θεῖα
reveling in them altars and outraging the and divine
μυστήρια ἐξορχούμενος, τὸ δὲ πάσχον ἑαυτοῦ γινόμενον ἐν
mysteries profaning the but suffering of-itself becoming in
πρωτολογίαις κατήγορον παρήγορον τὸν παίσαντα θεὸν
first-speeches accuser comforter the having-struck God
θερμότερον ἐπικέκληται. οὐκοῦν φιλανθρωπίαν ἐκδεχομένους
more-warmly has-invoked therefore kindness awaiting
θεοῦ δέον ᾄδειν μετὰ Δαβὶδ „μνήσθητι ἡμῶν κύριε ἐν
of-God (it-is)-needful to-sing with David remember us Lord in
τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου· ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ
the favor of-the people your visit us in the salvation
σου τοῦ ἰδεῖν ἐν τῇ χρηστότητι τῶν ἐκλεκτῶν σου,
your of-the to-see in the goodness of-the chosen your
τοῦ εὐφρανθῆναι ἐν τῇ εὐφροσύνῃ τοῦ ἔθνους σου, τοῦ
of-the to-rejoice in the gladness of-the nation your of-the
ἐπαινεῖσθαι μετὰ τῆς κληρονομίας σου," εὖ εἰδότας ὡς
to-be-praised with the inheritance your well knowing that

ἀσεβῶν μὲν ἡ εἰς τέλος παράδοσις καὶ μαστίγωσις,
of-(the)-impious indeed the to (the)-end delivering-up and scourging
τῶν δ' ἠλπικότων ἐπὶ κύριον τῇ παιδείᾳ σύνδρομος
of-those but having-hoped in (the)-Lord to-the chastening concurrent
ἡ παράκλησίς τε καὶ ἐπανάκλησις.
the comfort both and recall

AFTER THE CAPTURE

I · SOLON'S WARNING

Choniates recalls Solon, who took up arms against the tyranny of Peisistratos and laid them at the entrances and, when no Athenian followed, wrote verses mocking their folly. The Romans' emperors slept sweeter than Endymion and their citizens were hucksters whom no trumpet woke, so reproof is wasted on them, and since their case is unlike Solon's Athenians he keeps to his history, praising God who catches the wise in their wisdom. The City, delight of all, has been burned and emptied by scattered western pirates who used Isaac and his son as their mask.

Σόλων ὁ τῶν Ἀθηναίων τὰ κράτιστα, ὑποτυφομένην ὁρῶν
Solon the of-the Athenians the best smoldering seeing
τὴν Πεισιστράτειον νεωτέρισιν, πολλάκις μὲν διειλέχθη
the Peisistratean uprising often indeed spoke-to
τοῖς Ἀθηναίοις πειρώμενος κατασβέσαι τὴν τυραννίδα,
the Athenians trying to-quench the tyranny
εὖ μάλα εἰδὼς εὐμαρέστερον τὸ τὴν ἀρχὴν συνιστάμενον
well very knowing easier the at-the beginning forming
παῦσαι κακὸν καὶ κωλῦσαι πῆξιν ἄρτι δεχόμενον ἢ
to-stop evil and to-prevent firmness just receiving than
γοῦν προβὰν ἤδη καὶ κρατυνθὲν ἐκκόψαι ἤδη καὶ
at-any-rate advanced already and strengthened to-cut-out already and
ἀνελεῖν· οὐδενὸς δ' αὐτῷ προσέχοντος, μηδὲ πείθειν
to-destroy no-one but to-him attending nor to-persuade

δυνάμενος, μετὰ χεῖρας ὅπλα λαβὼν πρὸς ταῖς εἰσόδοις
being-able in hands arms having-taken at the entrances
αὐτὰ κατέθετο, εἴ πως ἐκκαλέσαιτο οὕτω καὶ παροξυνεῖ
them laid-down if somehow he-might-call-forth thus and will-provoke
τοῦ δήμου τινὰς πρὸς ζῆλον τὸν ὅμοιον. ὡς δ' οὐκ
of-the people some to emulation the like when but not
ἐξηρέθιστό τις πρὸς ταῦτα οὔτε μὴν συνεπωτρύνετό
had-been-roused anyone at these(-things) nor indeed was-urged-on
οἱ πρὸς τὴν τοῦ τυράννου καθαίρεσιν, λέγεται εἰπεῖν
with-him to the of-the tyrant overthrow he-is-said to-have-said
„ἔγωγε, ὡς εἶχον, τῇ πατρίδι ἐπήμυνα," καὶ τὸ λοιπὸν
I-indeed as I-could the fatherland defended and for-the rest
ἡσυχίαν ἄγειν καὶ γράφειν ποιήματα καὶ διατωθάζειν
quiet to-keep and to-write poems and to-mock
Ἀθηναίους ἐς ἀβουλίαν, ὧν ἔνια μὴ παρασυρέντα τῷ
(the)-Athenians for folly of-which some not swept-away by-the
χρόνου ῥεύματι οὑτωσί πως ξυντέθεινται·
of-time stream thus somehow are-composed

εἰ δὲ πεπόνθατε δεινὰ δι' ὑμετέρην κακότητα,
if and you-have-suffered terrible(-things) because-of your baseness
μή τι θεοῖς τούτων μοῖραν ἐπαμφέρετε·
not any on-gods of-these portion lay
αὐτοὶ γὰρ τούτους ηὐξήσατε ῥύσια δόντες,
yourselves for these increased pledges having-given
καὶ διὰ ταῦτα κακὴν ἔσχετε δουλοσύνην.
and because-of these(-things) base you-got slavery

ὑμέων δ᾽ εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει,
of-you and one indeed each of-fox in-tracks walks
σύμπασι δ᾽ ὑμῖν κοῦφος ἔνεστι νόος·
in-all and you empty is-in mind
εἰς γὰρ γλῶσσαν ὁρᾶτε καὶ εἰς ἔπος αἰόλον ἀνδρός,
to for tongue you-look and to word shifty of-man
εἰς ἔργον δ᾽ οὐδὲν γιγνόμενον βλέπετε.
to deed but nothing happening you-look

εἰ γοῦν λέγων καὶ πράττων ὁ Σόλων πρὸς πειθήνιον
if at-any-rate speaking and acting — Solon toward obedient
λόγοις ὁμήγυριν ἠλέγχετο μάτην ἀμφότερα μετιών,
to-words assembly was-proved vainly both pursuing
Σόλων ἐκεῖνος ὁ Κοδρίδης μὲν τὸ γένος, τῷ δὲ
Solon that the Codrid indeed the race by-the and
τῆς σοφίας περιόντι μικροῦ πᾶσαν τὴν τετράκλιμον
of-the wisdom abundance by-little all the four-quartered
διελθών, ὁποῖον ἄν τις τῶν καθ᾽ ἡμᾶς εἰσενηνοχὼς
having-traversed what — anyone of-those among us having-contributed
τοῖς κοινοῖς ἐπήρκεσεν ἂν πράγμασιν, ὧν οἱ μὲν
to-the common would-have-helped — affairs of-whom the indeed
βασιλεῖς ἐν ῥαθυμίᾳ τραφέντες ἦσαν ἐξ ἀρχῆς καὶ
emperors in sloth having-been-raised were from (the)-beginning and
ῥέγκοντες ἡδύτερον Ἐνδυμίωνος καὶ τὰ δεῖπνα πρωϊαίτερον
snoring more-sweetly than-Endymion and the dinners earlier
προσιέμενοι, καὶ τοσοῦτον τῆς τῶν πραγμάτων εὐκαιρίας
taking and so-much from-the of-the affairs right-moment
ἐκδιιστάμενοι, οἷα φαύλως ἐν τοῖς ὅλοις ἠγμένοι, ὡς ἐν
standing-apart as badly in the whole having-been-led so-that in
χειμῶνι μὲν τὰ ἄνθη ζητεῖν ἔαρος δὲ ποθεῖν ὀπωρίζεσθαι,
winter indeed the flowers to-seek in-spring and to-long to-gather-fruit

τὸ δὲ πολίτευμα ἐμπορικόν τε καὶ κάπηλον τὸ φρονεῖν,
the and citizen-body mercantile both and huckster the to-think
καὶ μὴ μόνον οὐχὶ σάλπιγξι τοῦ λέχους ἀνιστάμενον
and not only not by-trumpets from-the bed rising
ἀλλ᾽ οὐδ᾽ ᾠδαῖς ὀρνίθων διυπνιζόμενον, ὡς καὶ τὸ ὅλον
but not-even by-songs of-birds waking so-that also the whole
καθεῦδον ἡδέως καὶ μὴ ἐγνωκός ποτε πόλεμον; τὸ δέ γε
sleeping sweetly and not having-known ever war the but at-least
συντιθέναι ποιήματα καὶ τῶν διαμαρτόντων καθάπτεσθαι
to-compose poems and the having-erred to-attack
ἦν μὲν καὶ τοῦ μεγαλείου Σόλωνος, ἦν δ᾽, ὡς ἔοικε,
was indeed also of-the magnificent Solon was and as it-seems
καὶ τοῦ τότε δήμου τῶν Ἀθηναίων, κνωμένου τὸ οὖς
also of-the then people of-the Athenians being-tickled the ear
ταῖς τῶν εἰσηγήσεων χρησίμοις, ἠρέμα τε ὑπενδιδόντος
with-the of-the proposals useful(-ones) gently and yielding
ταῖς τῶν ἀρίστων ἀνδρῶν παραιφάσεσι. καὶ ἄλλως δὲ
to-the of-the best men exhortations and otherwise too
τῷ πρὸς ὄνειδος ᾄδειν τιθασσοῖς λόγων μέροψιν ἔνεστί
in-the for reproach to-sing in-tame of-words mortals is-in
τι καὶ γλυκάζον σὺν τῷ στύφοντι ἐμφαινόμενον· καὶ
something also sweet with the astringent showing and
ἡ μνήμη, ὅσα δὴ καὶ ῥιπίς, τὸ παραμένον ἐν ψυχῇ
the memory just-as indeed also fan the remaining in soul
καὶ ἐνθαπτόμενον ἐμπύρευμα τοῦ καλοῦ κατὰ ζῶσαν ἔτι
and buried ember of-the good like living still
φλόγα πυρὸς ἀναθάλπουσα, τὴν ἐφ᾽ ὁμοίοις ἐσέπειτα
flame of-fire rekindling the in like thereafter
διαμαρτίαν φυλάττεσθαι διανίστησι. τοῖς δ᾽ ἐς ἡμᾶς
error to-guard-against rouses to-the but down-to us
τῆς Κωνσταντίνου οἰκήτορσιν, εἰπεῖν δὲ καὶ τοῖς ἐκ
the(-city) of-Constantine inhabitants to-say and also to-those from

τῶν ἄλλων ὁρμωμένοις χωρῶν, οἱ ἔλεγχοι μώλωπες
the other coming lands the reproofs welts
ἀκριβῶς. τοῖς δὲ πολλοῖς οὐδ' ὦτα πεφύτευται τετρημένα
exactly to-the and many not-even ears have-grown pierced
εἰς νοῦν, οὐδ' ἡ Παφία τῆς ἐλευθερίας ὁποία τις ἐστὶν
into mind nor the Paphian of-the freedom of-what-kind any is
ἐς δεῦρο κατείληπται, ὡς οὐδὲ γλυκύτης μέλιτος τοῖς
to now has-been-grasped as nor sweetness of-honey to-those
μηδέπω γευσαμένοις μέλιτος. ἐπεὶ τοίνυν ἀσύμφωνα τοῖς
not-yet having-tasted honey since therefore discordant with-the
Σόλωνος τὰ ἡμέτερα, ἄγε τὰ μὲν τῶν ἐλέγχων παρήσομεν
of-Solon the ours come the indeed of-the reproofs we-shall-omit
βούκεντρα, ἐς οὐδὲν ἕτερον προσληφθησόμενα ὅτι μὴ τῶν
goads for nothing other going-to-be-taken except — of-the
πλείστων ἑτεροζύγησιν (εἰσὶ γάρ, εἰσὶν οἳ χόρτον ἐν τοῖς
most for-yoke-shirking are for there-are who hay on the
κέρασιν ἔχουσι), τὴν δ' ἱστορίας καθ' εἱρμὸν ἐξόμεθα.
horns have the and of-history by sequence we-shall-hold
εἰ γὰρ καὶ τὰ τῶν βαρβάρων ᾄδειν ἀπειπάμεθα, ἀλλ'
if for even the of-the barbarians to-sing we-renounced but
οὖν τοῦ δρασσομένου τοὺς σοφοὺς ἐν τῇ σοφίᾳ αὐτῶν
then of-the(-one) catching the wise in the wisdom their
ἐν πολλοῖς τοὺς ὑψαύχενας σφήλαντος καὶ τὰ πρόσωπα
in many the high-necked having-tripped and the faces
αὐτῶν ἀτιμίας πλήσαντος, καὶ παραδόντος εἰς ὄλεθρον
their with-dishonor having-filled and having-delivered to destruction
βαρβαρωτέροις ἑαυτῶν ἔθνεσι, χρεὼν μηδ' ἡμᾶς τὴν
to-more-barbarous than-themselves nations it-is-needful nor us the
σιωπὴν εἰς τέλος ἑλέσθαι, χρήσασθαι δὲ τῷ λόγῳ πρὸς
silence to (the)-end to-choose to-use but the speech for
ἀνθομολόγησιν τῶν τεραστίων θεοῦ, τοῦ „ζῶ ἐγὼ"
acknowledgment of-the wonders of-God the(-one) live I

λέγοντος „εἰς τὸν αἰῶνα, καὶ ἀνταποδώσω δίκην τοῖς ἐχθροῖς
saying to the age and I-will-repay justice to-the enemies
μου καὶ τοῖς μισοῦσί με ἐξολόθρευσιν,” καὶ αὖ πάλιν
my and to-those hating me destruction and in-turn again
πρὸς Ἀβραὰμ „τὸ δὲ ἔθνος ᾧ δουλεύσουσι, κρινῶ ἐγώ”.
to Abraham the and nation which they-will-serve will-judge I
Εἶχε μὲν δὴ οὕτω ταῦτα, καὶ ἡ Κωνσταντίνου καλλίπολις,
were indeed truly thus these(-things) and the of-Constantine fair-city
τὸ κοινὸν ἁπάντων ἐντρύφημά τε καὶ ἐξακουστὸν
the common of-all delight both and far-heard
περιλάλημα, ἠθάλωται πυρὶ καὶ ἠμαύρωται ἑάλω τε
talk has-been-burned by-fire and has-been-darkened was-taken both
καὶ τοῦ πλούτου παντὸς κεκένωται, ὅσος τε δημόσιος
and of-the wealth all has-been-emptied as-much-as both public
ἦν καὶ τοῖς λεῴς ἐπῳκείωτο καὶ ὅσος θεῷ ἀφωσίωτο,
was and to-the peoples belonged and as-much-as to-God had-been-dedicated
παρὰ γενῶν ἑσπερίων σποραδικῶν, ἀφαυρῶν τὰ πλεῖστα
by races western scattered feeble the most
καὶ ἀνωνύμων, εἰς ληστρικὸν μὲν ἔκπλουν συγκροτηθέντων,
and nameless for piratical indeed voyage having-been-assembled
ὀργάνῳ δὲ χρησαμένων καὶ προσωπείῳ εὐτυπώτῳ τῆς καθ’
as-instrument and having-used and as-mask well-shaped of-the against
ἡμῶν κινήσεως τῷ κρούσασθαι πρύμναν εἰς ἄμυναν Ἰσαακίῳ
us movement the to-back-water stern for defense to-Isaac
τῷ ἐξ Ἀγγέλων καὶ ὃν ἐκεῖνος ἐφύτευσεν, ὡς μὴ ὤφελεν,
the of Angeloi and whom he begot as not he-ought
ἐπ’ ἀπωλείᾳ τῆς πατρίδος, ὃν καὶ καλῶν κάλλιστον καί
for destruction of-the fatherland whom also of-fine finest and
σφισιν ἐπέραστον ἀγώγιμον ἐπεφέροντο· ἡ γὰρ ὑπτιότης
to-them lovely cargo they-carried the for supineness

καὶ οἰκουρότης τῶν τὰ Ῥωμαίων χειριζόντων πράγματα
and homekeeping of-those the of-(the)-Romans handling affairs
δικαστὰς ἡμῶν καὶ κολαστὰς τοὺς λῃστὰς ἐπεισήνεγκεν.
judges our and punishers the robbers brought-in

II · PLUNDER AND FLIGHT

No portent marks the City's fall; justice comes silently. The plunderers lodge in the houses, beat or coax the owners for hidden goods, and share neither hearth nor table, until the commanders let whoever wishes leave, and the refugees go out in rags, wasted and weeping. Choniates' great house had burned in the second fire, and his household shelters near the great church until a Venetian friend, armed as a soldier and speaking the looters' tongue, holds them off, then leads the family to Venetian friends as though they were his captives.

ἐπὶ δὲ τοῖς συμβᾶσι πᾶσι τῇ βασιλίδι οὐδὲν σημεῖον
at and the having-happened all(-things) to-the queen(-city) no sign
ὑψόθεν ἢ καὶ γῆθεν ἐκφανθὲν ἔγνωσται, ὁποῖα ἅττα
from-above or also from-earth having-appeared was-known such-as some
πολλὰ τοῖς πρότερον ξυνηνέχθησαν συμφορὰς ἀνδρῶν καὶ
many to-the earlier happened calamities of-men and
κακῶν ἐπαγωγὰς κηρεσιφόρους ὑποσημαίνοντα. οὔτε γὰρ
of-evils bringings doom-bearing signifying neither for
ψιάδες οὐρανόθεν ὕσθησαν αἱματόεσσαι, οὔτε θέρος ἔναιμον
drops from-heaven were-rained bloody nor harvest bloody
παρεξήλλακται, οὔτε λίθοι πυρόεντες ἐξ αἰθέρος ἠνέχθησαν,
was-altered nor stones fiery from sky were-borne
οὔτε τι ἕτερον ὡράθη καινουργηθὲν ὁπωσοῦν, ἀλλ' ἐμβάδι
nor anything other was-seen newly-made in-any-way but with-shoe
ἀψόφῳ καὶ χερσὶν ἀκροτήτοις πολύπους καὶ πολύχειρ
noiseless and with-hands unclapping many-footed and many-handed

τῇ πόλει καὶ ἡμῖν ἡ δίκη ἐπεισπεσοῦσα δυσπότμους
on-the city and us the justice having-fallen-upon ill-fated
ἐν ἀνθρώποις εἰργάσατο, τιμωρὸς ὀφθεῖσα φιλότιμος.
among men made avenger having-appeared zealous
καὶ τὴν μὲν ἡμέραν ἐκείνην καθ' ἣν ἡ πόλις ἑάλωκεν,
and the indeed day that on which the city was-taken
οἱ σκυλευταὶ ταῖς ὁπῃοῦν οἰκίαις ἐναυλισάμενοι τά τε
the plunderers in-the wherever houses having-lodged the(-things) both
ἔνδον διήρπαζον καὶ περὶ τῶν ἀφανῶν τοὺς δεσπότας
inside plundered and about the hidden(-things) the masters
ἀνέκρινον, πληγὰς ἐντείνοντες ἐνίοις, πολλοῖς δὲ καὶ
questioned blows inflicting on-some many and also
προσηνῶς συγγινόμενοι, ταῖς δ' ἀπειλαῖς ἐπὶ πᾶσι χρώμενοι·
gently associating the but threats on all using
ὡς δὲ τὰ μὲν εἶχον τὰ δ' ἐξέφαινον, τὰ μὲν ὀφθαλμοῖς
when and some indeed they-had others and revealed some indeed to-eyes
προκείμενα καὶ πρὸς τῶν ἐχόντων προσαγόμενα, τὰ δ'
lying-before and by the owners brought others and
ὑπὸ σφῶν αὐτῶν ἀναδιφώμενα, καὶ φειδώ τις οὐκ ἦν παρὰ
by them themselves searched-out and sparing any not was with
σφίσιν οὐδὲ τῶν ἐνόντων μετάδοσις πρὸς τοὺς ἔχοντας,
them nor of-the contents sharing with the owners
οὔτε μὴν συμμέθεξις ἑστίας ἢ ἑστιάσεως, ἀλλ' ὑπεροψία
nor indeed partaking of-hearth or of-meal but contempt
καὶ ἀμιξία καὶ μεθ' ὕβρεων ἀπαγωγὴ καὶ ἀπόπεμψις,
and unsociability and with insults leading-off and sending-away
ἔδοξε διὰ ταῦτα τοῖς στρατηγοῦσιν ἀνεικέναι τοῖς
it-seemed-good because-of these(-things) to-the commanders to-permit to-those
βουλομένοις τὴν ἐκ τῆς πόλεως ἄπαρσιν. κατὰ συμμορίας
wishing the from the city departure in groups
τοίνυν ἀγειρόμενοι ἐξῄεσαν, ῥακίοις ἐσπειραμένοι, ἀπαστίᾳ
therefore gathering they-went-out in-rags wrapped by-fasting

ἐκτετηγμένοι, τὸν χρῶτα τραπέντες, νεκρώδεις τὰς ὄψεις καὶ
wasted the skin having-turned corpse-like the faces and
ὕφαιμοι τοὺς ὀφθαλμούς, ὡς πλέον αἵμασιν ἤπερ δάκρυσι
bloodshot the eyes as more with-blood than tears
κλαίοντες. οἱ μὲν γὰρ θρήνων τὰς οὐσίας εἶχον ὑπόθεσιν,
weeping some indeed for of-laments the estates had subject
οἱ δὲ τὴν τούτων ἀποβολὴν ὡς οὔπω θλῖβον ἐς μὴ λόγον
others but the of-these loss as not-yet afflicting into not account
τιθέμενοι ἢ ὡραῖον γάμου κόριον ὠλοφύροντο ἁρπαγὲν
putting or ripe for-marriage girl lamented snatched
παρά του καὶ διακορηθέν, ἢ ἀλόχου στέρησιν ἀπωδύροντο,
by someone and deflowered or of-wife loss bewailed
καὶ ἄλλος ἄλλο τι κακὸν ἀνώμωζε πορευόμενος.
and one another some evil wailed traveling
Ἵνα δὲ καὶ τὰ κατ᾽ ἐμὲ συνείρω τῇ ἱστορίᾳ,
that and also the(-things) concerning me I-may-string to-the history
πολλοὶ τῶν συνήθων εἰς τοὐμὸν συνέδραμον οἴκημα
many of-the familiars to the-my ran-together dwelling
τῆς στυγνῆς ἐκείνης καὶ δυσωνύμου ὄντως ἐπιφαυσάσης
the gloomy that and ill-named truly having-dawned
ἡμέρας, ὑπόστωον οὖσαν καὶ χαλεπὴν προσπελάσαι καὶ
day under-colonnade being and hard to-approach and
ζοφώδη τὴν εἴσοδον· ὁ γὰρ ἄμαχος τῷ κάλλει καὶ τῷ
dark the entrance the for unrivaled in-the beauty and in-the
μεγέθει μέγιστος οἶκος ἡμῶν ἐν τοῖς Σφωρακίου ἱδρυμένος
size greatest house our in the of-Sphorakios built
ὑπὸ τοῦ δευτέρου πυρὸς ἠφάνισται. ἦν δὲ καὶ ἄλλως
by the second fire has-vanished was and also otherwise
εὐμαρῶς ἐκεῖθεν εἰς τὸν μέγιστον εἰσδῦναι ναόν, ἐπεὶ καὶ
easily thence into the greatest to-slip temple since also
τῷ τεμένει συνέκειτο. ἀλλ᾽ ἦν ἀνεξερεύνητον οὐδὲν τοῖς
to-the precinct it-adjoined but was unsearched nothing by-the

στρατεύμασιν, οὐδὲ τόπος εὐαγὴς καὶ τῇ θέσει παρέχων
armies nor place sacred and by-the position offering
ἀσφάλειαν ἀσινὲς ἐτήρει τὸ προσρυόμενον, ἀλλ᾽ ὅπῃ
safety unharmed kept the refuge-seeking(-one) but wherever
τις ἂν καὶ προσέδραμεν, ἀπεσπᾶτο πρὸς τῶν εἰσιόντων
anyone — even ran-to he-was-dragged by the entering
ἐκεῖ πολεμίων, καὶ ἔνθα πρὸς βουλῆς ἐκείνοις ἀπήγετο.
there enemies and where to will to-them was-led-off
ταῦθ᾽ ὁρῶντες ἡμεῖς ἀνομούμενα, ὡς ἐκ τῶν παρόντων
these(-things) seeing we being-done-lawlessly as from the present
εἴχομεν, τὸ σύμφορον μέτιμεν. ἦν οὖν ἐμοί τις συνήθης τε
we-could the advantageous we-pursue was then to-me a familiar both
καὶ συνέστιος ἐκ τοῦ τῶν Βενετίκων προελθὼν γένους,
and hearth-companion from the of-the Venetians having-come race
κομιδῆς ἀξιούμενος καὶ τῆς ἐς τὸ σῶμα ἀσφαλείας κομιδῇ
of-care deemed-worthy and of-the for the body safety fully
μετέχων τοῖς οὖσιν ἅμα καὶ γυναικί. οὗτος χρήσιμος
sharing with-the(-things) being at-once and wife he useful
ἡμῖν ἐν τοῖς τότε καιροῖς γίνεται. θωρακισάμενος γὰρ καὶ
to-us in the then times becomes having-armored for and
τὸν ἔμπορον εἰς στρατιώτην μεταμειψάμενος μάλα ἐμβριθῶς
the merchant into soldier having-changed very weightily
ἀπεκρούετο τοὺς εἰσιόντας μέχρι τινὸς τὸ οἴκημα
repulsed the entering up-to some(-point) the house
σκυλευτάς, τὸν συνοπλίτην ἐκείνοις ὑποκρινόμενος καὶ
plunderers the fellow-soldier to-them playing and
προειληφέναι τὴν οἰκίαν σχηματιζόμενος, συμβαρβαρίζων
to-have-seized-first the house pretending speaking-barbarian
ἅμα σφίσι καὶ τὰ εἰκότα διαλεγόμενος. ὡς δ᾽ οἱ
together with-them and the likely(-things) talking when but they
μὲν κατὰ πλῆθος εἰσέρρεον, ὁ δ᾽ ἀντέχειν ἀπείρηκε,
indeed in throng streamed-in he and to-hold-out gave-up

καὶ μάλιστα τοὺς ἐκ τῶν Φραγκίσκων εἰσιόντας, μὴ
and especially those from the Franks entering not
τοῖς ἄλλοις ὄντας παραπλησίους καὶ τὰς γνώμας καὶ τὰ
to-the others being similar both the minds and the
σώματα, μόνον δὲ τὸν οὐρανὸν δεδιέναι κομπάζοντας μὴ
bodies only and the sky to-fear boasting lest
εἴη σφίσιν ἐπιπεσών, μεταχωρεῖν ἐκεῖθεν ἡμῖν ὑποτίθησιν,
it-be on-them having-fallen to-move-away thence to-us suggests
ἵνα μὴ πρὸς τοῖς βαρβάροις γενόμενοι ἐν μὲν δεσμοῖς
that not among the barbarians having-come in indeed bonds
οἱ ἄνδρες ἡμεῖς διὰ χρήματα εἴημεν, αἱ δὲ γυναῖκες
the men we for money might-be the and women
ἐν ὕβρεσι καὶ ἀσέμνοις ἀπαγωγαῖς. τοῦ χρηστοῦ τοίνυν
in outrages and indecent abductions the good(-man) therefore
ἐκείνου καὶ πρώην οἰκότριβός τε καὶ πρόσφυγος, τότε δ'
that and formerly house-servant both and refugee then and
ἀγαθοῦ συνεργάτου κἀν τοῖς καιρίοις ὑπερασπίζοντος
good helper and-in the critical(-moments) shielding
ἐς ἄλλην οἰκίαν ἡγησαμένου, γνωστοὺς ἡμῖν Βενετίκους
to other house having-led known to-us Venetians
τρέφουσαν, κατὰ βραχεῖς ἔξιμεν ἐκεῖθεν, ὡς δορύκτητος
sheltering in few we-go-out thence as spear-won
ἐκείνῳ κλῆρος, ἐκ χειρὸς ἑλκόμενοι κατηφεῖς καὶ δυσείμονες
to-him lot by hand being-dragged downcast and ill-clad
καὶ οὕτω παραπεμπόμενοι.
and thus being-escorted

When that quarter falls to the Franks the servants desert, and the family carries its children through the streets. Five days after the capture, on a stormy Saturday, with Choniates' wife near her labor, they set out among friends past soldiers who search the captives and eye the women, whose faces are smeared with mud. Near the church of Mokios a Latin seizes a judge's daughter; Choniates follows him, rouses some soldiers by appealing to their oaths, their children, and Christ, and they force the man to give her back.

ἐπεὶ δ᾽ ἐκεῖνο τὸ μέρος τῆς πόλεως εἰς κλῆρον τοῖς
when and that the part of-the city to lot to-the
Φραγκίσκοις ἐπέλαχε, μετανάσται πάλιν γινόμεθα, ὅτε καὶ
Franks fell exiles again we-become when also
τῶν ἐπὶ τῆς θεραπείας ἡμῶν ἄλλων ἄλλῃ διασπαρέντων
of-those over the service our some elsewhere having-scattered
καὶ πάντων ἀπανθρώπως ἡμᾶς παρεικότων ἐπωμάδια φέρειν
and all inhumanly us having-forsaken on-shoulders to-carry
ἡμεῖς ἠναγκάσμεθα τὰ μήπω τῶν παιδαρίων ποσὶ χρώμενα,
we were-forced the not-yet of-the little-children feet using
στέγειν δὲ ὑπὸ μάλην καὶ ἄρρενα παῖδα ὑπομαστίδιον, καὶ
to-hold and under arm also male child at-the-breast and
χωρεῖν οὕτω διὰ μέσου τῶν ἀγυιῶν. ἡμέρας τοίνυν πέντε
to-go thus through middle of-the streets days therefore five
μετὰ τὴν ἅλωσιν τῇ πόλει προσμείναντες ἀπαίρομεν καὶ
after the capture in-the city having-stayed set-out also
ἡμεῖς. ἦν δὲ τότε σάββατον, κατὰ θείαν οἶμαι καὶ μὴ
we was and then Saturday by divine I-think and not
τυχηρὰν περίπτωσιν ἢ συγκυρίαν οὑτωσί πως συμβὰν
chance occurrence or coincidence thus somehow having-happened
ἄλογον, καὶ χειμών, ἐπὶ δὲ καὶ πρὸς ὠδῖσιν ἔτι ἡμῶν
unreasonable and storm besides and also near labor-pains still our

ἡ σύζυγος, ὥστε καὶ τὸ τοῦ Χριστοῦ προαγόρευμα ὅ
the wife so-that also the — of-Christ prophecy which
φησιν εὔξασθαι μὴ γενέσθαι τὴν φυγὴν ἡμῶν χειμῶνος ἢ
says to-pray not to-happen the flight our in-winter or
σαββάτου, καὶ „οὐαὶ ταῖς ἐν γαστρὶ ἐχούσαις ἐν ἐκείναις
on-Sabbath and woe to-the in womb having in those
ταῖς ἡμέραις," ὡς εἴπερ ἐφ' ἡμῖν προείρητο, πέρας
the days as if-indeed of us it-had-been-foretold end
ἀτεχνῶς εἴληφεν. ὡς δ' ἱκανοὶ συνήθεις καὶ συγγενεῖς καὶ
simply took when and many familiars and kin and
πλῆθος ἕτερον κατὰ θέαν ἡμῶν συνδραμὸν τῆς πορείας
crowd other for sight of-us having-run-together the journey
εἰχόμεθα, ἐπ' ἴσης ἀγορᾷ μυρμήκων διιόντες τὰς τριόδους,
we-held-to on equal to-market of-ants going-through the crossroads
προσυπήντων ἡμῖν οἱ στρατοί, οὐχ ὡπλισμένοι πρὸς
came-to-meet us the soldiers not armed to
ἀκρίβειαν, μαχαίρας δ' ἐπιμήκεις παρὰ πλευρὸν πλάγιον
precision swords but long by side slanting
τοῦ ἵππου ἐξηρτημένοι καὶ παραξιφίδια ταῖς ζώναις
of-the horse hung and daggers in-the belts
ἐνιέμενα φέροντες, οἱ μὲν τῶν σκύλων ἔμφορτοι, οἱ δὲ
thrust bearing some indeed with-the spoils laden others and
τοὺς παριόντας αἰχμαλώτους ἐξιχνιάζοντες εἰ λαμπρὰν
the passing captives searching whether splendid
ἐσθῆτα περίκεινται διερρωγότι περιστελλομένην χιτῶνι ἢ
clothing they-wear with-torn covered tunic or
γοῦν ἀργύριον καὶ χρυσίον τῷ κόλπῳ ἐνθάπτουσιν,
at-any-rate silver and gold in-the bosom they-bury
οἱ δὲ καὶ γυναικῶν ταῖς κάλλει διαφερούσαις πεπηγόσι
others and also of-women at-the in-beauty excelling with-fixed
βλέμμασι μηδὲ ῥᾳδίως ἀποσπωμένοις ἐνατενίζοντες ὡς
looks nor easily torn-away gazing as

ἁρπάσοντες αὐτίκα καὶ βιασόμενοι. περὶ ταῖς γυναιξὶ τοίνυν
going-to-seize at-once and going-to-violate for the women therefore
ἡμεῖς δείσαντες τὰς μὲν ὡς ἐν σηκῷ τῷ μέσῳ ἡμῶν
we having-feared them indeed as in pen the middle of-us
ἀπειλήφειμεν, ταῖς δὲ νεάνισιν ἐπεσκήψαμεν ἐντρίψασθαι
we-had-enclosed the and young-women we-charged to-rub
πηλῷ τὰ πρόσωπα ἀντίρροπα τῶν πρώην κομμώσεων
with-mud the faces counterpoise to-the former cosmetics
καὶ τὸν πυρσὸν οὕτω κατασβέσαι τῶν παρειῶν, ἵνα μὴ ὡς
and the blaze thus to-quench of-the cheeks that not as
ἐν νυκτὶ φρυκτωρούμενον πῦρ προκαλῆται τοὺς ὁδευτὰς
in night beacon-signaled fire it-may-call-forth the travelers
πρῶτα μὲν θεατάς, ἔπειτα δ' ἐραστάς, ἐκ δὲ τούτου
first indeed (as)-spectators then and lovers from and this
μή πως ἐκπέσωσιν ἧς ἐπέβησαν πόλεως, οὐδὲ τὰ τοιαδὶ
lest somehow they-fall-out-of which they-set-foot-on city not-even the such
τῶν ἀκουσμάτων ἀπεριέργαστα παρατρέχειν ἐδοκίμαζον
of-the hearsays unexamined to-run-past approved
οἷα μηδ' εἰκαίως ὑφ' ἁπάντων διαθρυλούμενα, ἀλλὰ τὸ
as not-even at-random by all being-noised-abroad but the
εἰκαστικὸν τῇ ἐπινοίᾳ συνάπτοντες ἐδικαίουν μὴ ἐᾶν
conjectural to-the reflection joining thought-right not to-leave
ἀνεξέταστα, πρὸς οὐδεμίαν τῶν πράξεων ἀναπίπτοντες.
unexamined in none of-the actions falling-back

XVII · HOMER'S COWARD; HENRY'S RAID

The Latins cling to every land they take, Choniates writes, while the Romans flee like Homer's coward. The eastern Romans blame the senators for the City's fall, which they themselves betrayed, pray it may never be recovered, and greet the exiles at Nicaea with mockery, though God feeds the hungry. Henry hears that the Cumans and Vlachs are out again, have razed Didymoteichon, and are working on Adrianople. He rides out, finds the Vlachs cowed, and raids Agathopolis and Anchialos before returning with his spoil to Constantinople.

τίς γὰρ οὐκ ἴσησιν ὡς ἧς ἂν ἐπιβαῖεν χώρας καὶ πόλεως,
who for not knows that which — they-set-foot-on land and city
καθάπερ οἰκείας αὐτῆς δραττόμενοι καὶ ἀπρὶξ ἐχόμενοι πρὸς
as own it grasping and tightly holding at
οὐδὲν ἀποκναίουσι δυσχερές, ὡς οὐκέτ' ὄντων τῶν οἴκοι
nothing are-wearied hardship as no-longer being the(-things) at-home
ἐπιλαθόμενοι; ἀπεναντίας τοῖς Ῥωμαίοις δρῶντες, οἳ τοῖς
having-forgotten contrary to-the Romans doing who to-those

βουλομένοις καὶ τῶν ἐσχάτων ἐπενδυτῶν ὑπεξίστανται,
wishing even of-the last outer-garments give-up
καὶ τὸν χοῦν τῶν ποδῶν αὐτῶν, ἀφιστάμενοι τῶν
and the dust of-the feet their departing from-the
πατρίδων, ἀσμένως ἀποτινάσσονται, οὐχ ὡς εὐαγγελικοὶ
fatherlands gladly shake-off not as evangelical
μαθηταὶ ἀλλ᾽ ὡς ἀχρεῖοι καὶ ἀγεννέστατοι μαχηταί, καὶ
disciples but as useless and most-ignoble fighters and
γυναικῶν ἐς πόλεμον ἀτολμότεροι, καὶ πρὸς τὴν ὄψιν τῶν
than-women for war more-timid and at the sight of-the
δυσμενῶν ἀτεχνῶς πάσχοντες ταῦτα δὴ τὰ Ὁμήρεια.
enemies simply suffering these indeed the Homeric(-things)

τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ,
of-the indeed for — coward turns skin this-way that-way
οὐδέ οἱ ἀτρέμας ἧσθαι ἐρητύετ᾽ ἐν φρεσὶ θυμός,
nor to-him unmoved to-sit is-restrained in mind spirit
ἀλλὰ μετοκλάζει καὶ ἐπ᾽ ἀμφοτέρους πόδας ἵζει.
but he-shifts-crouching and on both feet sits
ἐν δέ τε οἱ κραδίη μέγα στέρνοισι πατάσσει
in and — his heart greatly in-breast pounds
Κῆρας ὀϊομένῳ, πάταγος δέ τε γίνετ᾽ ὀδόντων.
Fates expecting chattering and — arises of-teeth

θαυμάσαι δ᾽ ἄν τις τοὺς ἄνδρας τούσδε περιεργασάμενος,
would-wonder and — one the men these having-examined
εἰ μὴ ἑαυτοὺς προϊόντος τοῦ χρόνου δίχα πόνου
if not themselves going-on the time without toil
διεξεργάσονται, οὕτω πρὸς τοὺς ἐναντίους ἀεὶ ἐνδιδόντες
will-destroy thus toward the opponents always yielding
καὶ μαλακιζόμενοι, πρὸς δὲ τοὺς ὁμοφύλους ἀναιδεῖς καὶ
and being-soft toward but the kinsmen shameless and

θρασεῖς καὶ αὐθάδεις ὁρώμενοι, οἵ γε καὶ τοῖς ἐκ τῆς
bold and arrogant seen who at-least also to-those of the
συγκλήτου βουλῆς ἡμῖν τὴν τῆς πόλεως ἐπιγραφόμενοι
senatorial council to-us the of-the city ascribing
ἅλωσιν οὔτε τὸν τῆς δίκης δεδίασι παντέφορον ὀφθαλμόν,
capture neither the of-the justice fear all-seeing eye
αὐτοὶ καταπροδόντες κἀκείνην δὴ καὶ ἡμᾶς, οὔτε πρὸς
themselves having-betrayed both-her indeed and us nor at
τὴν ὑπερβολὴν τοῦ ψεύδους αἰσχύνονται. τὸ δὲ καὶ
the excess of-the lie are-ashamed the and also
δακρύων ἄξιον ὡς ἀνθρώπων ἀναλγήτων πάθημα καὶ
of-tears worthy as of-men unfeeling suffering and
δυστύχημα, οὐ μόνον τὴν ἐπανάκλησιν αὐτῆς ἀπεύχονται,
misfortune not only the recall her pray-against
ἀλλὰ καὶ βραδυτῆτα τῷ θεῷ ἐγκαλοῦσιν ὡς μὴ πάλαι
but also slowness — to-God charge as not long-ago
καὶ χειρόνως τὰ κατ' αὐτὴν καὶ ἡμᾶς διαθεμένῳ,
and worse the(-things) concerning her and us having-disposed
ἀλλ' ἐς δεῦρο τὸν ὄλεθρον ἀποτείναντι καὶ φειδοῖ καὶ
but to here the ruin having-prolonged and by-sparing and
φιλανθρωπίᾳ δικάσαντι. καὶ δέον τοῖς ἡμῶν αὐτῶν
by-love-of-man having-judged and it-being-needful to-the of-us ourselves
κακοῖς ἁρμόζεσθαι πρὸς συμπάθειαν, οὐ πόλιν, οὐχ ἑστίαν,
evils to-be-tuned to sympathy not city not hearth
οὐ πορισμὸν τῶν πρὸς τὸ ζῆν ἐχόντων, οὓς ᾔδεσαν
not provision of-the(-things) for the living having whom they-knew
πάλαι περιωνύμους πλούτου βαθύτητι καὶ δυναστείας
of-old renowned of-wealth by-depth and of-power
λαμπρότητι, οἱ δὲ ξεναγοῦσι σκώμμασι καὶ περιβάλλουσιν
by-brilliance they but entertain-as-guests with-jests and encompass
ὡς ἱμᾶσι τοῖς ὀνείδεσιν, οὐδ' ὅλως παρὰ τὴν ἀρχὴν
as with-thongs with-the reproaches not-even at-all at the beginning

τοῦτο ἐλπίσαντας· ἦ γὰρ ἂν οὐδ' ἐπέβημεν
this having-hoped truly for — not-even we-would-have-set-foot-on
ὅλως τῆς ἑῴας γῆς, τὸν μετὰ τοιούτων ἀνθρώπων
at-all the eastern land the with such men
ἀλεείνοντες πάτον καὶ κατὰ τὸν πάλαι Βελλεροφόντην
shunning tread and like the of-old Bellerophon
πεδίον ζητοῦντες ἀλήϊον ἢ τὸν Ἱερεμίου ἔσχατον σταθμόν.
plain seeking cornless or the of-Jeremiah farthest lodging
μενοῦν γε οὐδὲ δι' ὄχλου τισὶ γεγόναμεν, πρὸς μόνον
nay at-least not-even through trouble to-any we-have-become in only
εὐελπιστοῦντες τὸν χορηγὸν τοῖς πᾶσι τροφῆς πατέρα
hoping the provider to-the all of-food father
θεόν, ὃς πρότερον μὲν δι' Ἐλισσαιὲ παλάθαις καὶ
God who before indeed through Elisha with-fig-cakes and
κριθίνοις ἄρτοις βραχέσιν ἑκατὸν εἱστίασεν ἄνδρας, ὕστερον
barley loaves few hundred feasted men later
δ' αὐτὸς βραχυτέροις μυριάδας πεινώντων ἐδεξιώσατο καὶ
and himself with-fewer myriads of-hungry welcomed and
τὰ τοῦ κόρου λείψανα πλείω τῶν ἐδηδομένων συλλέξαι
the of-the surfeit leftovers more than-the eaten(-things) to-gather
τοῖς συμποσιάρχαις μύσταις παρέσχετο, ἐπὶ θαύματι θαῦμα
to-the feast-masters initiates granted upon wonder wonder
τετελεκὼς ἐξαισίῳ ἐξαισιώτερον. ὅθεν κατὰ μόνον τὸ
having-accomplished extraordinary more-extraordinary whence in only the
σύννομον αὐτοῖς συμφερόμενοι, ἐξ ὅτου τὴν παρ' Ἀσκανίᾳ
grazing-together with-them agreeing from when the by Askania
λίμνην καὶ τὴν τῶν Βιθυνῶν προεδρεύουσαν Νίκαιαν
lake and the of-the Bithynians presiding Nicaea
παροικεῖν εἱλόμεθα ὡς αἰχμάλωτοι, καὶ παρὰ τοῖς αὐτοῖς
to-dwell-beside we-chose as captives and at the same
συνιόντες τεμένεσιν, ἀσυναφεῖς τἆλλα καθεωρώμεθα. ἀλλὰ
coming-together precincts unconnected the-rest we-were-seen but

τί μοι καὶ τῷ τὴν ἱστορίαν παρακινεῖν ταῖς τοιαῖσδε
what to-me and to-the the history to-derange with-the such
τῶν διηγήσεων, καὶ παριστᾶν ἐντεῦθεν ὡς ἀκράτου
of-the narratives and to-show hence as of-unmixed
ποτηρίου καὶ τρυγοφόρου κύλικος τὰ τῶν Ῥωμαίων
cup and dregs-bearing bowl the of-the Romans
ἁπαξάπαντα προσδεᾶ; περὶ τὴν νύσσαν τοίνυν τὸ λέγειν
all-together in-need about the turning-post therefore the telling
αὖθις ἐπεισαγέσθω καὶ τῶν προκειμένων ἐχέτω μοι.
again let-be-brought-in and of-the set-before let-it-hold for-me
Τῇδε μὲν οὖν καὶ ταῦτα ἐφέρετο· ὁ δέ γε Ἑρρῆς
here indeed then also these(-things) went — and at-least Henry
βασιλεύσας ἐπεὶ πύθοιτο παρὰ τῶν εἰς Ὀρεστιάδα
having-become-emperor when he-learned from the at Orestias
καταλειφθέντων ὁμογενῶν Σκυθῶν αὖθις καὶ Βλάχων
left kinsmen of-Scythians again and Vlachs
ἐξιέναι στρατεύματα, καὶ τὸ μὲν Διδυμότοιχον καθελεῖν,
to-go-out armies and — indeed Didymoteichon to-have-razed
αὐτὴν δὲ τὴν ἐξ Ἀδριανοῦ καλουμένην ὑπονοθεύειν,
itself and the(-city) from Hadrian called to-tamper-with
εἴ πως καὶ ταύτης περιγενήσονται, μὴ πρὸς τὸ πλῆθος
if somehow also of-it they-will-prevail not at the multitude
δείσας τῶν ἀντιπάλων μηδ' ἐν νῷ βαλόμενος ὅλως τὰ
having-feared of-the adversaries nor in mind having-cast at-all the
τῶν προτέρων πολέμων ἀτυχήματα καὶ πάλιν τὴν ἔξοδον
of-the former wars misfortunes also again the sally
ἀπεθάρρησε, καὶ τοὺς τῷ Βρανᾷ συνεκδήμους ὁμοφύλους
ventured and the — with-Branas fellow-travelers kinsmen
ἐκσῶσαι γλιχόμενος καὶ τὰ τῶν Ῥωμαίων περιθάλψειν
to-rescue longing and the of-the Romans to-cherish
ἐγκαταλείμματα, οἳ περὶ τὰς οὐχ ἑκὰς τῆς πόλεως
remnants who about the not far from-the city

κωμοπόλεις αὖθις συνδεδραμήκασι. περὶ τὴν Ἀδριανοῦ
market-towns again have-run-together about the(-city) of-Hadrian
τοίνυν κατηντηκὼς καὶ τοὺς Βλάχους κατωπτευκὼς περὶ
therefore having-arrived and the Vlachs having-observed at
τὴν ὄψιν τῶν Λατίνων ἀποδειλιάσαντας, μήτε σώματα
the sight of-the Latins having-shrunk neither bodies
λαβόντων μείζονα τῶν προτέρων μηδὲ ψυχὰς κτησαμένων
having-taken greater than-the former nor souls having-acquired
ἀλκιμωτέρας, τὸ δὲ σύνηθες θράσος καὶ τὴν ἐν πολέμοις
braver the but accustomed boldness and the in wars
ἕξιν οὐκ ἀπολωλότων οἷς πεπόνθασι, μέχρι Κρηνοῦ
habit not having-lost by-what they-suffered as-far-as Krenos
καὶ Βορέης ἐλάσας, ἐκ δὲ τούτων τὴν Ἀγαθόπολιν
and Boreas having-driven from and these — Agathopolis
διελθὼν καὶ παρεμβαλὼν ἐς Ἀγχίαλον, καὶ πολλὰ
having-passed-through and having-encamped at Anchialos and many
μὲν δράσας ἐξ ὧν καὶ χρήματα καὶ σώματα καὶ
indeed having-done from which both goods and bodies and
ζώων ἀγέλας ἔλαβεν, οὐδὲν δέ τι καθυπομείνας δεινόν,
of-animals herds he-took nothing and any having-undergone terrible
ἀπαθὴς ὑπέστρεψε καὶ τὴν Κωνσταντίνου κατέλαβεν.
unharmed returned and the(-city) of-Constantine reached

ON THE STATUES

THE BRONZES MELTED DOWN

The Venetian patriarch Thomas, fat and shaven, arrives. Hungry for gold, the Latins rob the imperial tombs, finding Justinian's body uncorrupted, and strip the great church's veil. Then they melt the bronzes for coin: Hera of the forum, Paris with Aphrodite, the Anemodoulion, the horseman of the Taurus, Lysimachos's Herakles, Augustus's ass and driver, the she-wolf, Scylla, Apollonios's eagle, Helen, and a basilisk locked with an asp, an image, Choniates says, of the nations that attacked the Romans destroying one another.

1 Τῆς γὰρ ἡμετέρας βασιλείας ἄρτι διαπεττευθείσης εἰς τοὺς
the for our empire just having-been-gambled-away to the
Φραγγίσκους, ὁμοίως καὶ τῆς ἀρχιερωσύνης κληρωθείσης
Franks likewise also the high-priesthood having-been-allotted
τοῖς Βενετίκοις, οἷς ἐπίσταται κρίμασιν ὁ τοῦ κοσμικοῦ
to-the Venetians by-what he-knows judgments the of-the worldly
τοῦδε σκάφους σκευαστὴς καὶ κυβερνήτης κύριος, ἵκετο
this vessel builder and helmsman Lord came
ἐκ Βενετίας πατριάρχης Κωνσταντινουπόλεως Θωμάσιός
from Venice patriarch of-Constantinople Thomas
τις τοὔνομα, τὴν μὲν ἡλικίαν μέσος, τὴν δὲ σωματικὴν
a-certain by-name the indeed age middle the and bodily
πλάσιν λακκευτοῦ συὸς εὐτραφέστερος· ἦν δὲ καὶ λεῖος
shape than-a-pit-fattened pig better-fed was and also smooth
ξυρῷ τὸ τοῦ προσώπου ἔδαφος ὡς οἱ λοιποὶ τῶν ἐκ
with-razor the of-the face ground as the rest of-those from
τοῦ γένους ἐκείνου, καὶ τὰς ἐνστηθίους παρατετιλμένος
the race that and the chest having-plucked
τρίχας ἀκριβέστερον δρώπακος, ἀμπεχόμενος δὲ στολὴν
hairs more-closely than-pitch-plaster wearing and robe

συνυφασμένην μικροῦ τῷ δέρματι καὶ ῥαφιδουμένην
woven-together by-little to-the skin and stitched
ἑκάστης τὰ εἰς καρπούς, δακτύλιόν τε τῇ χειρὶ
each(-day) the to wrists ring both on-the hand
περιστρέφων, ἐνίοτε δὲ καὶ τὰ ἐκ δέρρεων εἰς δακτύλους
turning-around sometimes and also the of skins into fingers
διεσχισμένα τῶν χειρῶν φυλακτήρια περικείμενος. ὡρᾶτο
split of-the hands guards wearing was-seen
δὲ καὶ τὸ περὶ αὐτὸν ὡσιωμένον θεῷ σύστημα καὶ τὴν
and also the around him consecrated to-God body and the
θυωρὸν ἀμφιπονούμενον τράπεζαν τῆς αὐτῆς ἐχόμενον
incense-bearing serving table of-the same holding
κεραμείας καὶ τῷ καθηγεμόνι πανείκελον τὰ εἰς
clay and to-the leader all-alike the(-things) in
στολὴν καὶ δίαιταν καὶ τὸν τοῦ πώγωνος θερισμόν.
dress and way-of-life and the of-the beard harvesting
Ἐκ πρώτης δέ, ὅ φασι, γραμμῆς τὸ ἐθνικὸν 2
from first and what they-say line the national(-character)
παραδεικνύντες φιλόχρυσον, ἐννοοῦσι πόρον λημματισμοῦ
showing gold-loving devise means of-gain
καινόν τε ἅμα καὶ λαθόντα ξύμπαντας οἳ τὴν βασιλίδα
new both at-once and escaping-notice all who the queen
πόλιν ἐσκύλευσαν. τὰς γὰρ τῶν βασιλέων θήκας ἀνοίξαντες,
city plundered the for of-the emperors tombs having-opened
ὁπόσαι ἔνεισι τῷ ἡρῴῳ τῷ περὶ τὸ μέγα τέμενος
as-many-as are-in the shrine the by the great precinct
ἱδρυμένῳ τῶν τοῦ Χριστοῦ μαθητῶν, λωποδυτοῦσι νυκτὸς
founded of-the — of-Christ disciples they-rob by-night
ἁπάσας, καὶ παναθεμίτως ἐγκολπίζονται εἴ τις χρύσεος
all and most-lawlessly pocket if any golden
κόσμος ἢ μαργάρων σφαίρωμα ἢ λίθος διαυγὴς καὶ
ornament or of-pearls sphere or stone transparent and

πολύτιμος ἀδιάφθορος εἰσέτι ταύταις ἐνέκειτο. εὑρόντες δὲ
precious undecayed still in-these lay having-found and
καὶ τὸν νεκρὸν Ἰουστινιανοῦ τοῦ βασιλέως τοῖς μακραίωσιν
also the corpse of-Justinian the emperor in-the long-lasting
ἀπαραλύμαντον ἔτεσι, τὸ μὲν ὁραθὲν ἐν θαύματι ἔθεντο,
undecayed years the(-thing) indeed seen in wonder set
τῶν δὲ νεκροταφίων οὐμενοῦν οὐδ' ὅλως ἀπέσχοντο.
of-the but grave-goods by-no-means not-even at-all abstained
ἔστιν οὖν εἰπεῖν ὡς οὔτε τῶν ἔτι ζώντων οὔτε μὴν τῶν
it-is-possible then to-say that neither the still living nor indeed the
ἀπελθόντων οἱ ἐκ γενῶν τῶν ἑσπερίων ἐφείσαντο, ἀλλ'
departed those from races the western spared but
ἐκ θεοῦ καὶ τῶν αὐτοῦ θεραπόντων ἀρξάμενοι πᾶσαν ἐπὶ
from God and the his servants having-begun all toward
πᾶσιν ἀδιαφορίαν τε καὶ ἀσέβειαν ἐπεδείξαντο. μετ' οὐ πολὺ
all indifference both and impiety displayed after not much
δὲ κατασπῶσι καὶ τὸ τοῦ μεγίστου νεὼ καταπέτασμα εἰς
and pull-down also the of-the greatest temple veil at
μυρίας πολλάκις ἀργύρου μνᾶς ἀριθμούμενον, καὶ τούτου
ten-thousand many-times of-silver minas counted and that
ὀβρυζοτέρου παντός, καὶ εἰς βάθος χρυσῷ πυκαζόμενον.
purer than-any and to depth with-gold thickened
3 Ἐπεὶ δὲ χρημάτων καὶ οὕτως ἐσπάνιζον (οὐδὲ γὰρ
since and of-money also thus they-lacked not-even for
φιλοπλουτίας κόρον ὁτεδὴ τὸ βάρβαρον ἴσησι), τοῖς χαλκοῖς
of-love-of-wealth surfeit ever the barbarian knows to-the bronze
ἐποφθαλμίζουσιν ἀνδριᾶσι, καὶ παραδιδόασι τούτους πυρί. ἥ
cast-eyes statues and hand-over them to-fire the
τε οὖν ἐν τῇ Κωνσταντινείῳ ἀγορᾷ ἱσταμένη πολύχαλκος
both then in the of-Constantine forum standing much-bronze
Ἥρα κέκοπται εἰς στατῆρας καὶ χωνείᾳ παραδέδοται,
Hera has-been-cut into staters and to-melting has-been-handed-over

ἧς ἡ κεφαλὴ μόγις τέτρασι βοῶν ὑποτρόχοις ζεύγμασιν
whose the head scarcely by-four of-oxen wheeled yokes
εἰς τὸ μέγα παλάτιον ἀποκεκόμισται· καὶ ἐπ᾽ αὐτῇ ὁ
to the great palace was-carried-off and after her —
Πάρις Ἀλέξανδρος τῆς βάσεως ἀνατέτραπται, συνεστὼς
Paris Alexandros from-the base was-overturned standing-with
Ἀφροδίτῃ καὶ χειρίζων ταύτῃ τὸ χρύσεον μῆλον τῆς Ἔριδος.
Aphrodite and handing to-her the golden apple — of-Eris
Τὸ δέ γε τετράπλευρον χαλκοῦν μηχάνημα μετέωρον 4
the and at-least four-sided bronze contrivance aloft
ἀναβαῖνον καὶ μικροῦ τοῖς τῶν κιόνων μείζοσιν εἰς ὕψος
rising and by-little with-the of-the columns greater in height
ἀνθαμιλλώμενον, ὅσοι πολλαχῇ τῆς πόλεως ἀνεστήκασι,
vying as-many-as in-many-places of-the city stand
τίς οὐκ ἂν ὀφθαλμὸν ἐκείνῳ ἐπιβαλὼν τῆς ποικιλίας
who not — eye on-it having-cast at-the variety
ἐθαύμασεν; ἅπας μουσικὸς ὄρνις τὰ ἐαρινὰ μελῳδῶν
would-have-wondered every musical bird the spring(-songs) singing
ἐκεῖ ἐντετύπωτο· γεηπόνων ἔργα καὶ αὐλοὶ καὶ γαυλοὶ καὶ
there was-figured of-farmers works and pipes and milk-pails and
προβάτων βληχήματα καὶ ἀρνῶν σκιρτήματα ἐξεικόνιστο·
of-sheep bleatings and of-lambs leapings was-portrayed
ὑφήπλωτο καὶ θαλάττιον πέλαγος, καὶ νεπόδων ἀγέλαι
was-spread-out also sea open-water and of-fish shoals
καθωρῶντο, οἱ μὲν ζωγρούμενοι, οἱ δὲ τὰ δίκτυα
were-seen some indeed being-caught others and the nets
τυραννοῦντες καὶ κατὰ βυθοῦ πάλιν ἀνέτως φερόμενοι· οἱ
overpowering and down deep again freely borne the
δ᾽ Ἔρωτες σύνδυο καὶ σύντρεις ἀλλήλοις ἀνθοπλιζόμενοι,
and Loves two-together and three-together one-another arming-against
γυμνοὶ περιβλημάτων, ἐβάλλοντο μήλοις καὶ ἔβαλλον, γλυκεῖ
bare of-clothes were-pelted with-apples and pelted with-sweet

περιβρασσόμενοι γέλωτι. τοῦ δὲ τοιούτου τετραπλεύρου εἰς
shaking laughter the and such four-sided to
ὀξὺ σχῆμα κατὰ πυραμίδα τελευτῶντος ἀπῃώρητο ἄνωθεν
sharp shape like pyramid ending was-hung above
γυναικόμορφον εἴκασμα, καὶ ταῖς πρώταις τῶν ἀνέμων
woman-shaped figure and by-the first of-the winds
κινήσεσι περισοβούμενον· ὁπόθεν Ἀνεμοδούλιον ἐπεκέκλητο.
movements whirled-around whence Anemodoulion it-was-called
πλὴν ἀλλὰ καὶ τοῦτο τὸ περικαλλέστατον ἔργον τοῖς
however but also this the most-beautiful work to-the
χωνευταῖς παρέδωκαν, ὥσπερ καὶ τὸν ἐν τῷ Ταύρῳ ἐπὶ
melters they-handed-over as also the in the Taurus on
τραπεζώδους βάσεως ἔφιππον ἱστάμενον ἄνδρα τὸν ἡρωϊκὸν
table-like base mounted standing man the heroic
τὸ εἶδος καὶ τὸ μέγεθος ἀξιάγαστον. εἶναι δὲ οὗτος ἐλέγετο
the form and the size admirable to-be and this was-said
παρὰ μὲν ἐνίοις Ἰησοῦς ὁ τοῦ Ναυῆ, τεκμαιρομένοις
by indeed some Joshua the(-son) — of-Nun judging
τὸν ἄνδρα τῇ πρὸς ἥλιον ἐκτάσει τῆς χειρὸς ἤδη τῆς
the man by-the toward sun stretching of-the hand already the
πρὸς δύσιν πορείας ἐχόμενον καὶ τὴν κατὰ Γαβαὼν στάσιν
toward setting course keeping and the at Gibeon standing
οἱονεὶ ἐπιτάσσοντα, ὡς δὲ ἐδόκει τοῖς πλείοσιν, ὁ ἐν τῇ
as-it-were commanding as but seemed to-the most the in the
νήσῳ τοῦ Πέλοπος γεννηθεὶς καὶ τραφεὶς Βελλεροφόντης
island — of-Pelops born and reared Bellerophon
Πηγάσῳ ἐπικαθήμενος· ἦν γὰρ ὁ ἵππος ἀχάλινος, ὁποῖος
on-Pegasus sitting was for the horse unbridled as
ὁ Πήγασος παραδίδοται, ἄνετα κροαίνων κατὰ πεδίων
— Pegasus is-handed-down freely stamping over plains
καὶ πάντα ἀδοξῶν ἀναβάτην ὡς πτηνὸς ἅμα καὶ πεζὸς
and every disdaining rider as winged at-once and on-foot

φερόμενος. ἀλλὰ καὶ φήμη παλαίφατος εἰς ἡμᾶς διαβαίνουσα
borne but also rumor ancient to us passing-down
τοῖς τῶν ἁπάντων ἐνέκειτο στόμασιν, ἐν τῇ ἐμπροσθίῳ τοῦ
in-the of-the all lay mouths in the front of-the
ἵππου τοῦδε λαιᾷ χηλῇ ἀνδρείκελον κεύθεσθαι, τισὶ μὲν
horse this left hoof statue to-be-hidden by-some indeed
ἐκ τοῦ τῶν Βενετίκων γένους τινὸς εἶναι παραδιδόμενον,
of the of-the Venetians race of-someone to-be handed-down
ἄλλοις δ' ἑτέρου τῶν μὴ ἐνσπόνδων Ῥωμαίοις ἑσπερίων
by-others and of-another of-the not treaty-bound to-(the)-Romans western
ἐθνῶν ἢ καὶ τῶν Βουλγάρων ἑνός. πολλάκις οὖν ἡ τῆς
nations or also of-the Bulgarians of-one often then the of-the
χηλῆς ἐπεποιήθη ἀσφάλισις εἰς τὸ πάντῃ ἀφώρατον ὧν
hoof was-made securing toward the wholly unseen of-what
ᾔδετο κρύπτειν ἔνδοθι. κατατεμαχισθέντος δὲ τοῦ ἵππου
it-was-sung to-hide within cut-to-pieces and the horse
καὶ σὺν τῷ ἀναβάτῃ παραδοθέντος πυρὶ εὕρηται καὶ τὸ ἐν
and with the rider handed-over to-fire was-found also the in
τῇ ὁπλῇ τοῦ ἵππου ἐντυμβευόμενον χαλκῆρες ἴνδαλμα, καὶ
the hoof of-the horse entombed bronze image and
ἦν περικείμενον χλαῖναν ὁποίαν τῶν θρεμμάτων τὰ ἔρια
it-was wearing cloak such-as of-the flocks the wools
πλέκουσιν· ὀλίγα δὲ τῶν ἐπ' αὐτῷ πεφρασμένων
they-weave little and of-the(-things) about it spoken
οἱ Λατῖνοι φροντίσαντες πυρὶ καὶ τοῦτο ἐνέβαλον.
the Latins having-cared to-fire also this threw
Ἀλλ' οὐδὲ τῶν ἐν τῷ ἱππικῷ ἱσταμένων ἀγαλμάτων καὶ 5
but not-even of-the in the hippodrome standing statues and
ἀλλοίων θαυμαστῶν ἔργων τὴν καταστροφὴν παρῆκαν οἱ
of-other wonderful works the destruction let-pass the
τοῦ καλοῦ ἀνέραστοι οὗτοι βάρβαροι, ἀλλὰ καὶ ταῦτα
of-the beautiful unloving these barbarians but also these(-things)

κεκόφασιν εἰς νόμισμα, ἀνταλλασσόμενοι μικρῶν τὰ μεγάλα
they-have-cut into coin exchanging for-small the great
καὶ τὰ δαπάναις πονηθέντα μεγίσταις οὐτιδανῶν
and the(-things) at-expenses wrought greatest for-worthless
ἀντιδιδόντες κερμάτων. κατήρειπτο τοίνυν Ἡρακλῆς ὁ
giving-in-return coins was-thrown-down therefore Herakles the
τριέσπερος μέγας μεγαλωστὶ κοφίνῳ ἐνιδρυμένος, τῆς
of-three-nights great greatly on-basket seated the
λεοντῆς ὑπεστρωμένης ἄνωθεν, δεινὸν ὁρώσης κἂν τῷ
lion-skin spread-under above terribly looking even-in the
χαλκῷ καὶ μικροῦ βρυχηθμὸν ἀφιείσης καὶ διαθροούσης τὸ
bronze and by-little roar letting-out and alarming the
ἐφιστάμενον ἐκεῖσε τοῦ πλήθους ἀπάλαμνον. ἐκάθητο δὲ
standing-by there of-the multitude helpless(-part) he-sat and
μὴ γωρυτὸν ἐξημμένος, μὴ τόξον ταῖν χεροῖν φέρων, μὴ
not quiver having-hung not bow in-the two-hands bearing not
τὸ ῥόπαλον προβαλλόμενος, ἀλλὰ τὴν μὲν δεξιὰν βάσιν
the club holding-forth but the indeed right foot
ἐκτείνων ὥσπερ καὶ τὴν αὐτὴν χεῖρα εἰς ὅσον ἐξῆν, τὸν
stretching as also the same hand to as-far-as it-was-possible the
δὲ εὐώνυμον πόδα κάμπτων εἰς τὸ γόνυ καὶ τὴν λαιὰν χεῖρα
and left foot bending at the knee and the left hand
ἐπ᾽ ἀγκῶνος ἐρείδων, εἶτα τὸ λοιπὸν τῆς χειρὸς ἀνατείνων,
on elbow propping then the rest of-the arm stretching-up
καὶ τῷ πλατεῖ ταύτης ἀθυμίας πλήρης καθυποκλίνων
and on-the flat of-it of-despondency full bowing
ἠρέμα τὴν κεφαλήν, καὶ τὰς ἰδίας οὕτω τύχας ἀποκλαιόμενος
gently the head and the own thus fortunes bewailing
καὶ δυσχεραίνων τοῖς ἄθλοις, ὅσους αὐτῷ Εὐρυσθεὺς οὐ
and chafing at-the labors which for-him Eurystheus not
κατὰ χρείαν κατὰ δὲ φθόνον μᾶλλον ἠγωνοθέτει, τῷ τῆς
from need from but envy rather set-as-contests with-the of-the

τύχης περιόντι φυσώμενος. ἦν δὲ τὸ στέρνον εὐρύς, τοὺς
fortune surplus puffed-up he-was and the chest broad the
ὤμους πλατύς, τὴν τρίχα οὖλος, τὰς πυγὰς πίων, βριαρὸς
shoulders wide the hair curly the buttocks fat sturdy
τοὺς βραχίονας, καὶ εἰς τόσον προέχων μέγεθος εἰς ὅσον,
the arms and to so-much excelling size to as-much-as
οἶμαι, καὶ τὸν ἀρχέτυπον Ἡρακλῆν εἴκασεν ἂν
I-think also the original Herakles would-have-imagined —
ἀναδραμεῖν ὁ Λυσίμαχος ὁ πρῶτον ἅμα καὶ ὕστατον
to-have-reached — Lysimachos the(-one) first at-once and last
τῶν ἑαυτοῦ χειρῶν πανάριστον φιλοτέχνημα τουτονὶ
of-the own hands best masterpiece this
χαλκουργήσας, καὶ οὕτω μέγιστον ὡς τὴν περιελοῦσαν
having-cast-in-bronze and so greatest that the going-around
τὸν αὐτοῦ ἀντίχειρα μήρινθον εἰς ἀνδρεῖον ζωστῆρα
the his thumb cord to man's belt
ἐκτείνεσθαι καὶ τὴν κνήμην τοῦ ποδὸς εἰς ἀνδρόμηκες.
to-extend and the shin of-the leg to man's-height
τοιοῦτον δ' ὄντα τὸν Ἡρακλῆν οὐ παρῆλθον ἀκαθαίρετον
such and being — Herakles not passed-by unrazed
οἱ τὴν ἀνδρείαν τῶν συννόμων ἀρετῶν διιστῶντες καὶ
those the courage from-the fellow virtues separating and
ταύτην ἑαυτοῖς οἰκειοῦντες καὶ περὶ πλείστου τιθέμενοι.
it to-themselves appropriating and above most setting
Τούτῳ δὲ συγκαθεῖλον καὶ τὸν σεσαγμένον καὶ σὺν 6
with-this and they-pulled-down also the laden and with
ὀγκηθμῷ στελλόμενον ὄνον καὶ τὸν τούτῳ ἐφεπόμενον
braying going ass and the it following
ὀνηγόν, οὓς ἐν Ἀκτίῳ ἔστησε Καῖσαρ ὁ Αὔγουστος, ὅ
ass-driver whom at Aktion set-up Caesar the Augustus which
ἐστιν ἡ καθ' Ἑλλάδα Νικόπολις, ἡνίκα νυκτὸς ἐξιὼν τὸ τοῦ
is the in Hellas Nikopolis when by-night going-out the —

Ἀντωνίου κατασκέψασθαι στράτευμα ἀνδρὶ ἐνέτυχεν ὄνον
of-Antony to-spy-out army man he-met ass
ἐλαύνοντι, καὶ πυθόμενος ὅστις εἴη καὶ ἔνθα πορεύεται
driving and having-asked who he-was and where he-goes
ἤκουσεν ὡς καλοῦμαι Νίκων καὶ ὁ ἐμὸς ὄνος Νίκανδρος,
heard that I-am-called Nikon and the my ass Nikandros
ἀφικνοῦμαι δὲ πρὸς τὴν τοῦ Καίσαρος στρατιάν.
I-come and to the — of-Caesar army

7 Οὐδὲ μὴν τῆς ὑαίνης τε καὶ λυκαίνης τὰς χεῖρας ἀπήγαγον,
not-even indeed of-the hyena both and she-wolf the hands they-withheld
ἃς Ῥῶμος καὶ Ῥωμύλος ἐθήλασαν· στατήρων δὲ
which Remus and Romulus sucked for-staters and
βραχέων, καὶ τούτων χαλκῶν, τὰ παλαιὰ σεμνώματα τοῦ
few and these bronze the ancient glories of-the
γένους ἀπέδωκαν καὶ καθῆκαν αὐτὰς εἰς τὸ χωνευτήριον·
race they-sold and sent-down them into the melting-pot
ἔτι γε μὴν καὶ τὸν ἄνδρα τὸν παλαίοντα λέοντι, καὶ
still at-least indeed also the man the wrestling with-lion and
τὸν ἵππον τὸν Νειλῷον, ἐς οὐραῖον ἠκανθωμένον λεπίσι
the horse the of-the-Nile into tail spined with-scales
τὰ ὄπισθεν τοῦ σώματος λήγοντα, καὶ τὸν σείοντα
the(-parts) behind the body ending and the shaking
τὴν προνομαίαν ἐλέφαντα· τὰς Σφίγγας ἐπὶ τούτοις, τὰς
the trunk elephant the Sphinxes besides these the
εὐειδεῖς ὡς γυναῖκας τὰ ἔμπροσθεν καὶ φρικτὰς ὡς
fair-formed as women the(-parts) in-front and dreadful as
θηρία τὰ ὄπισθεν, καινοτέρας δὲ ὡς καὶ πεζῇ βαινούσας
beasts the(-parts) behind stranger and as both on-foot walking
καὶ κούφως τῷ πτερῷ φερομένας καὶ διαμιλλωμένας
and lightly with-the wing borne and vying
τοῖς τῶν ὀρνίθων μεγαλοπτέρυξι· καὶ τὸν ἀχάλινον
with-the of-the birds great-winged and the unbridled

ἵππον ὀρθιάζοντα τὸ οὖς καὶ φριμάσσοντα, γαῦρόν τε καὶ
horse pricking the ear and snorting proud both and
εὐήνιον προποδίζοντα· καὶ τὸ ἀρχαῖον κακόν, τὴν Σκύλλαν,
obedient stepping-forward and the ancient evil — Scylla
μέχρι μὲν ἰξύος γυναικεῖον εἶδος προφέρουσαν, καὶ τοῦτο
as-far-as indeed waist womanly form displaying and this
προτενὲς καὶ ὑπερμαζῶν καὶ μεστὸν ἀγριότητος, τὰ
protruding and full-breasted and full of-savagery the(-parts)
δ' ἔκτοτε διεσχισμένον εἰς θῆρας ἐμπηδῶντας τῇ τοῦ
and thence split into beasts leaping-upon the —
Ὀδυσσέως νηῒ καὶ συχνοὺς τῶν ἑταίρων καταβροχθίζοντας.
of-Odysseus ship and many of-the companions gulping-down
Ἦν δ' ἐν τῷ ἱππικῷ καὶ χάλκεος ἀετὸς ἀνακείμενος, 8
was and in the hippodrome also bronze eagle set-up
τοῦ ἐκ Τυάνων Ἀπολλωνίου καινὸν μεθόδευμα καὶ τῆς
of-the from Tyana Apollonios novel device and of-the
ἐκείνου γοητείας μεγαλοπρεπὲς μαγγάνευμα. παραβαλὼν
his sorcery magnificent trick having-come
γάρ ποτε Βυζαντίοις παρεκλήθη τὰ τῶν ὄφεων κατευνάσαι
for once by-Byzantines he-was-asked the of-the snakes to-lull
δήγματα, ὑφ' ὧν ἔπασχον ἐκεῖνοι κακῶς· ἀμέλει καὶ
bites by which suffered they badly indeed and
συνερίθοις ταῖς ἀρρητουργίαις χρησάμενος ὧν ὑφηγηταὶ
as-helpers the unspeakable-rites having-used of-which guides
δαίμονες καὶ ὅσοι τὰ τούτων πρεσβεύουσιν ὄργια, ἐπὶ
demons and as-many-as the of-these honor orgies on
στήλης ἀνίστησιν ἀετόν, ἡδονὴν ἐνστάζον ψυχαῖς ὅραμα
pillar sets-up eagle pleasure instilling in-souls sight
καὶ πεῖθον χρονοτριβεῖν τοὺς αὐτοῦ θέας κατατρυφῶντας,
and persuading to-linger the of-it sight reveling
ὡς τοὺς ὑπέχοντας ἀκοὴν τὰ τῶν Σειρήνων δυσπαρόδευτα
as the lending hearing the of-the Sirens hard-to-pass

μελῳδήματα. διήρκει μὲν γὰρ ὡς εἰς πτῆσιν τὰς πτέρυγας,
songs it-held-out indeed for as for flight the wings
ὄφις δὲ τοῖς ποσὶν ὑποκείμενος καὶ λορδούμενος εἰς ὁλκοὺς
snake and to-the feet lying-under and bent-back into coils
ἀπεῖργεν αὐτὸν τῆς ἀναφορᾶς, οἷα τοῖς ἄκροις τοῦ
kept it from-the ascent as with-the tips of-the
σώματος ὡς πρὸς δῆγμα ἐγχρίπτων ταῖς πτέρυξιν. ἤνυε
body as for bite approaching the wings achieved
δὲ ὁ ἰοβόλος οὐδέν· ταῖς γὰρ τῶν ὀνύχων ἐμπερονηθεὶς
but the venom-shooter nothing on-the for of-the claws pierced
ἀκωκαῖς ἔσβεστο τὴν ὁρμὴν καὶ ὑπνώττειν μᾶλλον ἐδόκει
points was-quenched the impulse and to-sleep rather seemed
ἢ γοῦν πρὸς καταπάλαισιν τοῦ ὄρνιθος ταῖς ἐκείνου
or at-any-rate for overthrow of-the bird to-the its
προσφύεσθαι πτέρυξι. καὶ ὁ μὲν ὄφις οὕτω πνέων τὰ
to-cling wings and the indeed snake thus breathing the
λοίσθια καὶ τὸν ἰὸν εἶχεν ἑαυτῷ συνθνήσκοντα· ὁ δ'
last and the venom had with-itself dying-together the and
ἀετὸς γαῦρον ὁρῶν καὶ μονονουχὶ κλάζων τὰ ἐπινίκια
eagle proudly looking and all-but screaming the victory-songs
ὥρμα συνεξᾶραι τὸν ὄφιν καὶ ἅμα οἱ δι' ἀέρος φέρεσθαι,
strove to-lift-up-with the snake and with him through air to-be-borne
τεκμαίρεσθαι τοῦτο διδοὺς τῷ χαροπῷ τοῦ βλέμματος
to-infer this granting by-the fierceness of-the glance
καὶ τῇ νεκρώσει τοῦ ὄφεως, ὃν εἴπέ τις ἂν
and by-the deadness of-the snake which would-have-said one —
ἰδὼν ἐπιλελησμένον τῶν ἑλίξεων καὶ τοῦ δάκνειν εἰς
having-seen having-forgotten the coils and the biting to
ὄλεθρον καὶ τοὺς λοιποὺς Βυζαντίους ὄφεις τῷ καθ' αὐτὸν
ruin and the other Byzantine snakes by-the of himself
διασοβεῖν ὑποδείγματι καὶ πείθειν ταῖς χειαῖς συσπειρᾶσθαι
to-scare example and to-persuade in-the holes to-coil-up

καὶ παραβύεσθαι. οὐ μόνον δὲ καθ' ὅσα εἰρήκαμεν,
and to-creep-in not only and in as-much-as we-have-said
ἀξιάγαστον ἦν τουτὶ τὸ ἀέτειον εἴκασμα, ἀλλ' ὅτι καὶ
admirable was this the eagle image but because also
τὰ τῆς ἡμέρας ὡριαῖα τμήματα διὰ τῶν ἐν ταῖς πτέρυξι
the of-the day hourly sections through the on the wings
κεχαραγμένων γραμμῶν, οὐσῶν δυοκαίδεκα, τρανότατα
engraved lines being twelve most-clearly
ὑπεδήλου τοῖς τὰς ὄψεις ἐκείνῳ σὺν λόγῳ προσβάλλουσιν,
indicated to-those the eyes on-it with reason casting
ἡνίκα μὴ νεφέλαις ἐγνοφοῦτο τὰς ἀκτῖνας ὁ ἥλιος.
when not by-clouds was-darkened the rays the sun
Τί δὲ ἡ λευκώλενος Ἑλένη καλλίσφυρός τε καὶ 9
what and the white-armed Helen fair-ankled both and
δολιχόδειρος, ἡ τὸ Πανελλήνιον εἰς Τροίαν ἀθροίσασα
long-necked the(-one) the all-Greek(-host) to Troy having-gathered
καὶ καθελοῦσα Τροίαν, ἐκ δὲ ταύτης προσωκείλασα
and having-destroyed Troy from and it having-landed
Νείλῳ κἀκεῖθεν αὖθις εἰς ἤθη τὰ Λακώνων ἐπαναλύσασα
at-(the)-Nile and-thence again to haunts the of-Laconians having-returned
χρόνιος; ἆρ' ἐμείλιξε τοὺς δυσμειλίκτους; ἆρ' ἐμάλθαξε
after-long-time — did-she-soothe the implacable — did-she-soften
τοὺς σιδηρόφρονας; οὐμενοῦν οὐδ' ὅλως τοιοῦτόν τι
the iron-hearted by-no-means not-even at-all such anything
δεδύνηται ἡ πάντα θεατὴν τῷ κάλλει δουλαγωγήσασα,
has-been-able the(-one) every beholder by-the beauty having-enslaved
καίπερ ἐστολισμένη θεατρικῶς, καὶ δροσώδης ὁρωμένη
although adorned theatrically and dewy appearing
κἀν τῷ χαλκῷ, καὶ ὑγραινομένη πρὸς ἔρωτα τῷ χιτῶνι,
even-in the bronze and melting to love in-the tunic
τῷ κρηδέμνῳ, τῇ στεφάνῃ καὶ τῷ πλοχμῷ τῶν τριχῶν·
in-the veil in-the diadem and in-the braid of-the hairs

ὁ μὲν γὰρ ἀραχνίων λεπτότερος ἦν, τὸ δὲ
the(-one) indeed for than-spiderwebs finer was the(-other) and
δαιδάλεον ἐπανέκειτο, ἡ δὲ διέδει τὸ μέτωπον χρυσοῦ
cunningly-wrought lay-over the(-one) and bound the forehead of-gold
καὶ τιμαλφῶν λίθων ὑποκρινομένη διαύγειαν, ὁ δὲ τὸ
and precious stones playing brilliance the(-one) and the
τῆς κόμης κεχυμένον καὶ διασοβούμενον πνεύμασιν ὀπισθίῳ
of-the hair flowing and tossed by-winds with-rear
δεσμεύματι περιέσφιγγεν ἕως κνημῶν ἐκτεινόμενον. ἦν δὲ
binding bound-around to shins extending were and
καὶ τὰ χείλη καλύκων δίκην ἠρέμα παρανοιγόμενα, ὡς
also the lips of-buds in-manner gently opening so-that
καὶ δοκεῖν ἀφιέναι φωνήν· τὸ δὲ χάριεν μειδίαμα εὐθέως
even to-seem to-let-out voice the and graceful smile at-once
προσυπαντῶν καὶ χαρμονῆς πιμπλῶν τὸν θεώμενον, καὶ τὸ
meeting and with-delight filling the beholder and the
τοῦ βλέμματος χαροπὸν καὶ τὰς ἀψῖδας τῶν ὀφρύων καὶ
of-the glance brightness and the arches of-the brows and
τὴν λοιπὴν εὐφυΐαν τοῦ σώματος οὐκ ἦν ὁποῖα ἦν
the rest shapeliness of-the body not it-was such-as they-were
διαγράψαι λόγῳ καὶ παραστῆσαι τοῖς ἔπειτα. ἀλλ' ὦ
to-describe in-word and to-present to-those after but O
Τυνδαρὶς Ἑλένη, κάλλος αὐτόθεν καλόν, Ἐρώτων μόσχευμα,
Tyndarid Helen beauty from-itself beautiful of-Loves shoot
Ἀφροδίτης τημελούχημα, πανάριστον φύσεως δώρημα,
of-Aphrodite treasure best of-nature gift
Τρώων καὶ Ἑλλήνων βράβευμα, ποῦ σοι τὸ νηπενθὲς
of-Trojans and Greeks prize where for-you the grief-banishing
καὶ κακῶν ἁπάντων ἐπίληθες φάρμακον, ὃ Θῶνός
and of-evils all oblivion-bringing drug which of-Thon
σοι παράκοιτις ἐχαρίσατο; ποῦ δὲ τὰ ἄμαχα φίλτρα;
to-you wife gave where and the irresistible charms

πῶς οὐκ ἐχρήσω τούτοις ὡς πάλαι καὶ νῦν; ἀλλ' οἶμαί
how not did-you-use them as of-old also now but I-think
σοι ταῖς Μοίραις πέπρωται τῇ τοῦ πυρὸς ὑποπεσεῖν
for-you by-the Fates it-was-fated to-the of-the fire to-fall-under
ἐρωῇ, μηδ' ἐν εἰκόνι παυσαμένην ἀνακαίειν τοὺς ὁρῶντας
force not-even in image having-ceased to-kindle the seeing
εἰς ἔρωτας. εἶπον δ' ἂν ὡς καὶ ἀντίποινα τοῦ τὴν
to loves I-would-have-said and — that also in-requital of-the —
Τροίαν ᾠθαλῶσθαι πυρὶ ταῖς σαῖς σχετλίως φρυκτευθέντι
Troy to-have-been-burned by-fire for-the your cruelly beacon-signaled
φιλότησιν οἱ Αἰνειάδαι οὗτοι πυρί σε κατέκριναν. ἀλλ' οὐκ
loves the Aeneadae these to-fire you condemned but not
ἐᾷ με τὸ χρυσομανὲς τῶν ἀνδρῶν διανοήσασθαί τι
allows me the gold-madness of-the men to-think anything
τοιοῦτον καὶ φθέγξασθαι, ὑφ' οὗ τὰ σπάνια πανταχοῦ καὶ
such and to-utter by which the rare everywhere and
καλῶν κάλλιστα ἔργα παντελεῖ ἀφανισμῷ παρεπέμφθησαν,
of-fair fairest works to-complete obliteration were-sent
εἰπεῖν δὲ καὶ τὸ τὰς ἑαυτῶν γυναῖκας ὀβολῶν μετρίων
to-say and also the the own wives for-obols moderate
πολλάκις ἀποδιδόναι καὶ ἀποπέμπεσθαι, καὶ μᾶλλον
often to-sell and to-send-off and more
εἰ προσανέχουσι τηλίᾳ καὶ προστετήκασι πεττοῖς
if they-are-devoted to-dice-board and are-wasting-over checkers
πανημέριοι, ἢ καὶ πρὸς ὁρμὴν ἄλογον καὶ μανιώδη, οὐ μὴν
all-day or also to impulse irrational and mad not indeed
ἀνδρείαν ἔμφρονα κατ' ἀλλήλων ἐνθουσιῶσι καὶ τὴν Ἄρεος
courage sensible against one-another are-frenzied and the of-Ares
σκευὴν περιτίθενται, τῆς νίκης προτιθέντες ἆθλον πάντα
gear put-on of-the victory setting-forth prize all
τὰ προσόντα σφίσιν, αὐτὰς τὰς κουριδίους ἀλόχους, ἐξ
the(-things) belonging to-them themselves the wedded wives from

ὧν πατέρες ἠκηκόεισαν τέκνων, ἔτι δὲ τὸ μέγα χρῆμα
whom fathers they-had-been-called of-children still and the great thing
καὶ τοῖς ἄλλοις δυσπαραίτητον, τὴν ψυχήν, καὶ ἧς ἕνεκα
and to-the others inexorable the soul and of-which for-sake
τὰ πάντα περισπουδάζουσιν ἄνθρωποι. ἄλλως τε ποῦ παρ᾽
the all-things are-busy men besides — where among
ἀγραμμάτοις βαρβάροις καὶ τέλεον ἀναλφαβήτοις ἀνάγνωσις
unlettered barbarians and utterly illiterate reading
καὶ γνῶσις τῶν ἐπὶ σοὶ ῥαψῳδηθέντων ἐκείνων ἐπῶν; „οὐ
and knowledge of-the about you rhapsodized those verses no
νέμεσις Τρῶας καὶ ἐϋκνήμιδας Ἀχαιοὺς τοιῇδ᾽ ἀμφὶ γυναικὶ
blame Trojans and well-greaved Achaeans for-such about woman
ἄλγεα πάσχειν· αἰνῶς ἀθανάτῃσι θεαῖς εἰς ὦπα ἔοικεν.“
pains to-suffer terribly to-immortal goddesses in face she-is-like
10 Δοτέον μοι ἐκεῖνο τῷ λόγῳ. ἀνέκειτο ἐπὶ στήλης νεοειδὲς
must-be-granted to-me that to-the account was-set-up on pillar youthful
τὴν ὄψιν γύναιον, αὐτὸ τῆς ἡλικίας ἄγον τὸ χαριέστατον,
the look little-woman itself of-the age bearing the most-graceful
εἰς τοὐπίσω τὴν κόμην ἀναδούμενον ἐπ᾽ ἀμφότερα τοῦ
to the-back the hair binding-up on both(-sides) of-the
μετώπου συνεστραμμένην, οὐχ ὑπεραιωρούμενον ἀλλ᾽ ὡς
forehead twisted not hanging-above but as
ἁπτὸν εἴη τοῖς ἐς αὐτὸ τὰς χεῖρας ἐκτείνουσι. τούτου
touchable it-might-be to-those to it the hands stretching of-this
δὴ τοῦ μορφάσματος ἡ δεξιὰ χείρ, μηδενὸς ὑπόντος
indeed the figure the right hand no being-under
ἐρείσματος, ἄνδρα ἔφιππον ἀφ᾽ ἑνὸς ἱππείου ποδὸς ἐπὶ
support man mounted from one horse's foot on
παλάμας ἀνεῖχεν ὡς οὐδὲ σκύφον κεράσματος ἕτερος.
palm held-up as not-even cup of-mixed-wine another
ἦν δ᾽ ὁ μὲν ἀναβάτης σφριγῶν τὸ σῶμα, φραττόμενος
was and the indeed rider swelling the body fenced

θώρακι, κνημῖσι τὼ πόδε περιστελλόμενος, πνέων
with-breastplate with-greaves the two-feet covered breathing
ἀτεχνῶς πόλεμον· ὁ δὲ ἵππος ἀνίστη τὸ οὖς ὡς πρὸς
simply war the and horse pricked the ear as at
σάλπιγγα, ὑψηλὸς τὸν αὐχένα, τὰς ὄψεις δριμὺς καὶ τὸν ἐκ
trumpet high the neck the eyes fierce and the from
τοῦ θυμοῦ δρόμον προφαίνων τοῖς ὀφθαλμοῖς· οἱ δὲ πόδες
the spirit run showing in-the eyes the and feet
ἀνεφέροντο ἀέριοι τὸ πολεμικὸν ἐπιδεικνύντες σάλευμα.
were-raised aloft the warlike displaying motion
Μετὰ δὲ τὸ εἴκασμα τουτὶ ἄγχιστα τοῦ τῶν τετρώρων 11
after and the image this nearest the of-the four-horse(-chariots)
ἑῴου καμπτῆρος, ὃς ἐπεκέκλητο τοῦ Ῥουσίου, ἁρματηλάται
eastern turning-post which was-called of-the Red charioteers
ἄνδρες ἀνεστήλωντο, τῆς διφρευτικῆς προγράμματα
men had-been-set-up of-the chariot-driving notices
δεξιότητος, μονονουχὶ διαπρυσίως τῇ διαθέσει τῶν χειρῶν
skill all-but piercingly by-the arrangement of-the hands
τοῖς διφρηλάταις παρεγγυώμενοι ὡς χρὴ προσπελῶντας
to-the chariot-drivers exhorting that it-is-needful approaching
τῇ νύσσῃ μὴ ἐφεῖναι τὰ χαλινὰ ἀλλ᾽ ἐγκλίνειν
the turning-post not to-let-go the reins but to-bend
ἀνασειρασμῷ τοὺς ἵππους καὶ συνεχεῖ καὶ σφοδροτέρῳ
by-reining-in the horses and continuous and more-vigorous
χρῆσθαι τῷ μύωπι, ὅπως περικλώμενοι τῆς νύσσης ἐχόμενα
to-use the spur so-that wheeling-around the turning-post close
ἐῶσι τὸν συντρέχοντα ἀντίτεχνον τὴν ἐκ περιόδου
they-may-let the running-together rival the from circuit
ἐλᾶν καὶ ὕστατον ἔρχεσθαι, κἂν ἵππους δρομικωτέρους
to-drive and last to-come even-if horses swifter
ἡνιοχῇ καὶ τὴν ἁμιλλητήριον τέχνην ὁρῷτο εὐπαίδευτος.
he-drives and the racing art he-be-seen well-trained

12 Ὁ δὲ λόγος καὶ ἄλλο τι προσθήσει τοῖς εἰρημένοις·
the and account also other something will-add to-the(-things) said
οὐδὲ γὰρ συγγράψασθαι τὰ πάντα προύθετο. χάριεν τὴν θέαν
not for to-write-up the all it-proposed graceful the sight
καὶ τὴν τέχνην μικροῦ τῶν πάντων θαυμασιώτερον βάσις
and the art by-little than-the all more-wonderful base
ἦν λιθίνη καὶ ἐπ᾽ αὐτῆς χαλκήλατον ζῷον, παρὰ τοσοῦτον
was stone and on it bronze-wrought animal in so-far
οὐκ ἀναμφήριστον βοῦν εἰκονίζον παρ᾽ ὅσον βραχύκερκον
not undisputed ox representing in as-far-as short-tailed
ἦν μηδὲ βαθεῖαν καθεικὸς φάρυγγα, οἷαν οἱ Αἰγύπτιοι
it-was nor deep having-let-down throat such-as the Egyptian
βόες τρέφουσι, μήτε μὴν χηλαῖς ὁπλιζόμενον. συνεῖχε δὲ
oxen grow nor indeed with-hoofs armed held and
τοῦτο ταῖς γένυσι καὶ εἰς πνῖγμα συνέθλιβε ζῷον ἕτερον, δι᾽
this in-the jaws and to choking squeezed animal another through
ὅλου τοῦ σώματος λεπίσι θωρακιζόμενον οὕτω τραχείαις
whole the body with-scales armored so rough
ὡς καὶ ἐν χαλκῷ λυπεῖν τὸν ἁπτόμενον. ᾠδετο δὲ τὸ
as even in bronze to-hurt the(-one) touching it-was-sung and the
μὲν βασιλίσκον εἶναι τὸ δὲ ἀσπίδα, τὸ συμμαρπτόμενον
one basilisk to-be the other asp the(-one) seized
τούτου τῷ στόματι· οὐκ ὀλίγοις δὲ τὸ μὲν Νειλῷος βοῦς τὸ
of-this in-the mouth not to-few and the one Nile ox the
δὲ κροκόδειλος εἶναι εἰκάζετο. ἐμοὶ μὲν οὖν οὐ μέλον τοῦ
other crocodile to-be was-guessed to-me indeed then not being-a-care of-the
τῶν δοξῶν ἀνομοίου, εἰπεῖν δὲ τὸ καινήν τινα τὴν πάλην
of-the opinions unlikeness to-say but the novel some the wrestling
ἀμφότερον τίθεσθαι, καὶ δρᾶν ἐν μέρει καὶ πάσχειν κακῶς
both to-make and to-do in turn and to-suffer badly
ὑπ᾽ ἀλλήλων ἑκάτερα, ὀλλύναι τε καὶ ὄλλυσθαι, καὶ κρατεῖν
by one-another each to-destroy both and to-be-destroyed and to-master

ἐν ταὐτῷ καὶ κρατεῖσθαι, καὶ νικᾶν ἄμφω καὶ ὑπ᾽ ἀλλήλων
in the-same and to-be-mastered and to-conquer both and by one-another
καταπαλαίεσθαι. τὸ μὲν γάρ, ὁ καὶ φημιζόμενος βασιλίσκος,
to-be-thrown the one for the also reputed basilisk
διῳδήκει ἅπαν ἐκ κεφαλῆς ἕως καὶ αὐτοῦ τοῦ τῶν ποδῶν
had-swollen all from head to even itself the of-the feet
πέλματος, καὶ κατιωμένον ὅλον τὸ σῶμα καὶ ὑπὲρ τὸ
sole and poisoned whole the body and beyond the
βατράχειον χρῶμα ἐχλώριζε, τοῦ φαρμάκου διαδραμόντος
frog's color was-green the poison having-run-through
τὴν τοῦ ζῴου ξύμπασαν διαρτίαν καὶ εἰς θάνατον
the of-the animal whole frame and to death
χρώσαντος· εἰς γόνυ τοίνυν συνίζανε, τὸ ὄμμα ἔσβεστο
having-colored to knee therefore it-sank the eye was-quenched
τῆς ζωτικῆς ἐκμαρανθείσης δυνάμεως. μᾶλλον μὲν οὖν
the vital having-withered power rather indeed then
ἐδίδου τοῖς ὁρῶσι δοξάζειν ὡς πάλαι ἂν ἀνατέτραπτο
it-gave to-those seeing to-think that long-ago — it-would-have-been-overturned
νεκρωθέν, εἰ μὴ τῶν ποδῶν αἱ βάσεις ὑπήρειδον καὶ πρὸς
dead if not of-the feet the steps propped-up and for
στάσιν ὑπανεῖχον ὄρθιον. ἦν δὲ καὶ θάτερον ὁμοίως, τὸ
standing held-up upright was and also the-other likewise the(-one)
ταῖς γένυσιν ἐνισχόμενον, βραχὺ μὲν τὸ οὐραῖον ἀσπαῖρον,
in-the jaws held little indeed the tail twitching
μέγα δὲ κεχηνὸς τῷ ἀπάγχεσθαι τῇ τῶν γομφίων ξυνοχῇ·
greatly and gaping by-the to-be-strangled by-the of-the molars grip
καὶ ξυντείνεσθαι μὲν ἐῴκει καὶ ὁρμᾶν πειρᾶσθαι τοῦ τῶν
and to-strain indeed it-seemed and to-rush to-try from-the of-the
ὀδόντων ἕρκους διεκδῦναι καὶ διεκπεσεῖν τοῦ χάσματος, οὐκ
teeth fence to-slip-out and to-escape from-the gape not
ἴσχυε δέ, ὅτι τὰ μετὰ τοὺς ὤμους εὐθὺς καὶ τῶν ποδῶν
it-could but because the(-parts) after the shoulders straight and of-the feet

τοὺς ἐμπροσθίους, καὶ ὅσα τῷ οὐραίῳ συνήπτοντο μέρη
the front and as-many-as to-the tail were-joined parts
τοῦ σώματος, ἡ τοῦ στόματος ξυνεῖχε διάστασις καὶ ταῖς
of-the body the of-the mouth held opening and on-the
γένυσιν ἐνεπείρετο. καὶ τὰ μὲν οὕτως ἦσαν ὑπ' ἀλλήλων
jaws was-impaled and they indeed thus were by one-another
νεκρούμενα, καὶ κοινὴ μὲν ἀμφοῖν ἡ ἅμιλλα, κοινὴ δὲ καὶ ἡ
being-killed and common indeed to-both the contest common and also the
ἄμυνα, ἰσοπαλὴς δὲ ἡ νίκη, σύντροχος δὲ καὶ ὁ θάνατος.
defense evenly-matched and the victory running-together and also the death
ἐμοὶ δ' ἔπεισιν εἰπεῖν ὡς τὸ φθείρεσθαι παρ' ἀλλήλων καὶ
to-me and it-occurs to-say that the to-be-destroyed by one-another and
σὺν ἀλλήλοις ἀπάγεσθαι τὴν ἐς θάνατον τὰ τῶν κακῶν
with one-another to-be-led-off the(-road) to death the of-the evils
κηρεσιφόρα καὶ ἀνθρώποις ὀλέθρια μὴ μόνον ἐν εἰκόσιν εἴη
doom-bringing and to-men deadly not only in images may-be
διατυποῦσθαι, ἢ καὶ τοῖς ἀλκιμωτέροις τῶν ζῴων τοῦτο
to-be-figured or also to-the braver of-the animals this
ἐπισυμβαίνειν, ἀλλὰ καὶ παρ' ἔθνεσι συχνάκις γίνεσθαι,
to-befall but also among nations often to-happen
ὁποῖα τοῖς Ῥωμαίοις ἡμῖν ἐπεστράτευσε, φονῶντα κατ'
such-as against-the Romans us marched raging-for-blood against
ἀλλήλων, ὀλλύμενα δυνάμει Χριστοῦ τοῦ διασκορπίζοντος
one-another being-destroyed by-power of-Christ the scattering
ἔθνη τὰ τοὺς πολέμους θέλοντα καὶ μὴ χαίροντος
nations the(-ones) the wars wishing and not rejoicing
αἵμασιν, ὃς καὶ δίκαιον ἐπ' ἀσπίδα καὶ βασιλίσκον δείκνυσιν
in-bloods who also just-man on asp and basilisk shows
ἐπιβαίνοντα καὶ λέοντα καταπατοῦντα καὶ δράκοντα.
treading and lion trampling and dragon